## ὑπόθεσις τοῦ Πλαταϊκοῦ

Περὶ τοὺς χρόνους τοῦ λόγου τούτου πολλοὶ πλανῶνται. Ζητοῦσι γὰρ πῶς δυνατὸν εἰρηκέναι τὸν Ἰσοκράτην ὑπὲρ Πλαταιέων κατασκαφέντων ἐν τῇ γʹ ἱστορίᾳ τοῦ Πελοποννησιακοῦ πολέμου (Th. 3.52-68) {τὸν ὕστερον μετὰ πολλὰ ἔτη γενόμενον τῶν Πελοποννησιακῶν}. Ἐγένετο γὰρ ἡ κατασκαφὴ τῶν Πλαταιέων ἐν τῷ ‹εʹ› ἔτει τοῦ Πελοποννησιακοῦ, κατέσχε δὲ εἴκοσι καὶ ἑπτὰ ἔτη ὁ πᾶς πόλεμος, καὶ τὰ λοιπὰ εἴκοσι δύο, εἶτα ἐν ᾧ ἦρξαν Λακεδαιμόνιοι τριάκοντα· ἰδοὺ πεντήκοντα δύο †κατὰ τὰ Φιλίππου ἔτη† εἴρηται ὁ λόγος, ὡς ἀνάγκη τὸν Ἰσοκράτην †τριῶν† ἐτῶν ὄντα εἰπεῖν τὸν λόγον, ὅπερ ἀδύνατον. Πρὸς ὃ καί τινες ἀπολογούμενοι λέγουσιν ὅτι πρὸς μελέτην εἴρηται ὁ λόγος

Π N T Par.2990 Par.2991(f. 41v)

**Inscriptio** ὑπόθεσις εἰς τὸν πλαταϊκόν N : ὑπόθεσις τοῦ πλαταικοῦ Par.2990 : om. Π T Par.2991 **2** γʹ Π N (τῆιγ̅ N, i.e. τῆι γʹ potius quam τῇ ιγʹ) : τρίτῃ T Par.2990 Par.2991 **3** πελοποννησιακοῦ Π Par.2991 : πελοπονησιακοῦ T Par.2990 : πελλοποννησιακοῦ N **3-4** τὸν ὕστερον – Πελοποννησιακῶν delevi (idem lapsus apud Suid. ι 652) **4** πελοπονησιακῶν T Par.2990 **5** εʹ coni. Baiter (apud Baiter – Sauppe, II, p. 7) : spatium vacuum T : τρίτῳ Par.2991 : om. Π N Par.2990 ἔτι N[ac], corr. N[1] inter scrib. πελοπονησιακοῦ T Par.2990 εἴκοσι scripsi : κʹ coni. Sauppe (apud Baiter – Sauppe, II, p. 7) : δύο Π N T Par.2990 εἴκοσι καὶ ἑπτὰ ἔτη om. Par.2991 **6** πᾶς om. Π N καὶ τὰ λοιπὰ om. Par.2991 εἴκοσι δύο N : εἰκοσιδύο Π : δύο καὶ εἴκοσιν Par.2991 : κβʹ T Par.2990 ἤρξαντο Π N **7** ἰδοὺ] ἤγουν cod. Mustoxydis †κατὰ τὰ Φιλίππου ἔτη† εἴρηται ὁ λόγος] ὁ δὲ λόγος οὗτος εἴρηται κατὰ τὰ φιλίππου ἔτη Par.2991 κατὰ τὰ T Par.2991 : κατὰ τοῦ Par.2990 : καὶ τὰ Π N : πρὸ τοῦ dub. coni. Sauppe, l. l. suspicor sub verbis κατὰ τὰ Φιλίππου ἔτη lacunam latere, ubi agebatur quantum temporis inter finem principatus Lacedaemoniorum et pugnam contra Philippum apud Chaeroneam intercessisset ac qua aetate Isocrates obiisset **8** ἰσοκράτη Par.2990 †τριῶν†] fort. δεκατριῶν, i.e. ‹ι›γʹ post λόγον add. ὡς ἡ περὶ τῶν αὐτοῦ χρόνων ἱστορία δηλοῖ Par.2991 ἀδύνατα N **9** Πρὸς ὃ] προσὸ Π

{ζητημαῖος}. Οὐκ ἔστι δέ, ἀλλὰ τό‹τε› δεύτερον κατεσκάφησαν Πλαταιεῖς· ‹πρ›ότε‹ρον› μὲν ἐν τῷ Πελοποννησιακῷ πολέμῳ ὑπὸ Λακεδαιμονίων χαριζομένων Θηβαίοις – εἶτα, ὅτε ἐπολέμησαν Λακεδαιμόνιοι Θηβαίοις μετὰ τὸν Πελοποννησιακὸν πόλεμον, {καὶ} ἐνίκησαν οἱ Λακεδαιμόνιοι καὶ πολεμίους ὁμόρους ἀναστῆσαι Θηβαίοις βουλόμενοι ἀνῴκισαν Πλάταιαν – εἶτα ὕστερον νικήσαντες οἱ Θηβαῖοι ἐν Λεύκτροις κατέσκαψαν αὖ τοὺς Πλαταιέας, οὓς ὕστερον ἀνοικίζει πάλιν Φίλιππος κατὰ Θηβαίων. Κατασκαφέντες οὖν νῦν τὴν δευτέραν κατασκαφὴν ἔρχονται εἰς τὰς ᾿Αθήνας, ἀναλαβεῖν βουλόμενοι τὴν πόλιν διὰ τῶν ᾿Αθηναίων, εἰς οὓς κατέφυγον, ὥς φησιν ὁ ᾿Αριστείδης (*Or.* 1.59 Lenz). καὶ ἡ μὲν ὑπόθεσις αὕτη· ἡ δὲ στάσις πραγματικὴ ἄγραφος.

Π N T Par.2990 Par.2991[(f. 41v)]

**10** ζητημαῖος delevi, iam om. Par.2991 : habent Π N T Par.2990 : ζητήματος coni. Sauppe, l. l. (“oratio quaestionis”)   ἀλλὰ τότε (vel etiam ἀλλ’ ὅτε) conieci : ἀλλὰ τὸ Π N Par.2990 : ἀλλ’ ὅτι Par.2991 : ἀλλὰ T   πλαταιεῖς Π[1pc] N T Par.2990 Par.2991 : πλαταιοῖς Π[ac] : οἱ Πλαταιεῖς cod. Mustoxydis   **11** πρότερον conieci : ὅτε Π N T Par.2990 : πρῶτον Par.2991 : ὁτὲ coni. Sauppe, l. l. : τότε dub. coni. Mustoxydis, *Sylloge*, fasc. 4, p. 23   πελοποννησιακῷ Par.2991 : πελοπονησιακῷ Π T Par.2990 : πελοπονσιακῷ (sic) N   **12** εἶτα – Θηβαίοις om. Π N (propter homoeoteleuton)   εἶτα δ’ ὅτε dub. coni. Mustoxydis, l. l.   **13** πελοπονησιακὸν Π T Par.2990   καὶ[1] delevi   καὶ[2] del. Sauppe, l. l., qui post οἱ Λακεδαιμόνιοι distinxit   **14** ὁμήρους N[ac], corr. N[1]   ἀνῴκισαν T (-ώ-) : -ώκη- Par.2990 Par.2991 : -οίκι- Π N[it] : -οίκη- N[mg] (alia m.)   εἶτα δ’ ὕστερον fort. scribendum   **15** αὖ τοὺς N : αὐτοὺς Π T Par.2990 : αὖθις Par.2991   revera prius Plataeae iterum eversae sunt (circa anno 373 a. Chr. n.), postea apud Leuctram Thebani Lacedaemonios profligaverunt (anno 371)   Πλαταιέας, οὓς] πλάταιαν· ἣν Par.2991   **16** ἐνοικίζει T Par.2990 Par.2991   Κατασκαφέντες] φ fort. ex corr. Par.2991 : -σκάψαντες Par.2990   **17** ἀναβαλεῖν Π   **18** διὰ τῶν ἀθηναίων, εἰς οὓς κατέφυγον Π N : διὸ τοῖς ἀθηναίοις κατέφυγον T Par.2990 : om. Par.2991   ὥς φησιν ὁ ἀριστείδης] ὡς καὶ ἀριστείδης φησίν Par.2991   ἀριστίδης Π N   **19** καὶ ἡ μὲν ὑπόθεσις αὕτη] εἰς ἣν καὶ οὗτος ὁ λόγος γέγραπται Par.2991   ἡ δὲ Π T Par.2990 : ἡ δὲ· ἡ δὲ (sic) N : ἔστι δὲ ἡ Par.2991

# ΠΛΑΤΑΪΚΟΣ

**1** Εἰδότες ὑμᾶς, ὦ ἄνδρες ᾿Αθηναῖοι, καὶ τοῖς ἀδικουμένοις προθύμως βοηθεῖν εἰθισμένους καὶ τοῖς εὐεργέταις μεγίστην χάριν ἀποδιδόντας, ἥκομεν ἱκετεύσοντες μὴ περιιδεῖν ἡμᾶς εἰρήνης οὔσης ἀναστάτους ὑπὸ Θηβαίων γεγενημένους. Πολλῶν δ’ ἤδη πρὸς ὑμᾶς καταφυγόντων καὶ διαπραξαμένων ἅπανθ’ ὅσων ἐδεήθησαν, ἡγούμεθα μάλιστα προσήκειν ὑμῖν περὶ τῆς ἡμετέρας πόλεως ποιήσασθαι πρόνοιαν. **2** Οὔτε γὰρ ἂν ἀδικώτερον οὐδένας ἡμῶν εὕροιτε τηλικαύταις συμφοραῖς περιπεπτωκότας, οὔτ’ ἐκ πλέονος χρόνου πρὸς τὴν ὑμετέραν πόλιν οἰκειότερον διακειμένους. Ἔτι δὲ τοιούτων δεησόμενοι

---

Γ (Δ) Θ Λ Π Ν

---

**Inscriptio** Priscian. *Inst*. 18.257 (III, p. 339.10), 18.258 (III, p. 340.17), 18.294 (III, p. 366.13); Phot. *Bibl*. 159 (102a5); Marcellin. in Syrian. Sopat. Marcellin. *Hermog. Stat.* pp. 379.28, 381.4; Jo. Sicul. *Hermog. Id.* p. 193.8-9; Anon. *Inv.* p. 54.20; Schol. Dem. 54.1; Inscriptio argumenti **1** 1 Εἰδότες – ᾿Αθηναῖοι Anon. Seg. 7 – 2 εἰθισμένους Schol. Dem. 54.1 – 4 γεγενημένους Ruf. Rh. p. 400.14-19 **2** 3 ἔτι – 4 πάρεσμεν Priscian. *Inst.* 18.294 (III, p. 366.13-14)

---

**Inscriptio** πλαταϊκός ΘΛΝ (-ι- ΘΝ) Priscian. Phot. (πλαϊκός $A^{ac}$M, corr. $A^{2}$) Marcellin. Anon. Schol.Dem. Inscriptio argumenti (-ϊ- N : -ι- Par.2990 : om. rell.) : πλαταιϊκός ΓΔ (add. alia m.) : ὑπὲρ τῶν Πλαταιῶν ἀπολογία Jo.Sicul. : om. Π : cf. Subscriptio **1** 1 ὑμᾶς] -ᾶς $Θ^{2ras}$ : [$Θ^{ac}$] ἄνδρες Γ **a** Schol.Dem. : om. Anon.Seg. Ruf.Rh. ᾿Αθηναῖοι Γ **a** Anon.Seg. Ruf.Rh. : δικασταί Schol.Dem. ἀδικουμένοις Γ **a** Ruf.Rh. (Par. gr. 2918) Schol.Dem. : ἀδίκως Ruf.Rh. (Laur. Plut. 55.10) προθύμως Γ **a** Ruf.Rh. : om. Schol.Dem. 2 καὶ τοῖς αδι $Π^{ac}$ (ex lin. antec. ἀδικουμένοις), corr. $Π^{1}$ inter scrib. 3 περιδεῖν $Γ^{ac}$, corr. $Γ^{2}$ εἰρήνης οὔσης om. Ruf.Rh. ἀπὸ Θηβαίων ἀναστάτους Ruf.Rh. 4 γεγενημένους Γ Ruf.Rh. : γενομένους **a** δὲ **b** παρ’ ὑμᾶς Θ 5 ἐδεήθησαν] -δ- $Γ^{2ras}$ : [$Γ^{ac}$] ἡγούμεθα] πολλὴν ἡ. **b** μάλιστα προσήκειν ὑμῖν **a** : μάλισθ’ ὑμῖν προσήκειν Γ **2** 1 ἂν ἀδικώτερον οὐδένας] ἀδικώτερον οὐδένας ἂν **b** εὕρητε **a** (-ται $Π^{ac}$) 2 οὔτε Θ πλέονος scripsi : πλείονος Γ **a** πρὸς τὴν] προσην $N^{ac}$, corr. $N^{1}$ inter scrib. (vid.) 3 ἡμετέραν ΘΝ οἰκειότερον] εὐνοϊκώτερον Θ τοιούτων Γ Θ Prisc. (τοιουτον M) : περὶ τοιούτων ΛΠ : περὶ τούτων Ν

πάρεσμεν, ἐν οἷς κίνδυνος μὲν οὐδεὶς ἔνεστιν, ἅπαντες δ’ ἄνθρωποι νομιοῦσιν ὑμᾶς πειθομένους ὁσιωτάτους καὶ δικαιοτάτους εἶναι τῶν Ἑλλήνων.

**3** Εἰ μὲν οὖν μὴ Θηβαίους ἑωρῶμεν ἐκ παντὸς τρόπου παρεσκευασμένους πείθειν, ὡς οὐδὲν εἰς ἡμᾶς ἐξημαρτήκασιν, διὰ βραχέων ἂν ἐποιησάμεθα τοὺς λόγους· ἐπειδὴ δ’ εἰς τοῦθ’ ἥκομεν ἀτυχίας ὥστε μὴ μόνον ἡμῖν εἶναι τὸν ἀγῶνα πρὸς τούτους, ἀλλὰ καὶ τῶν ῥητόρων πρὸς τοὺς δυνατωτάτους, οὓς ἀπὸ τῶν ἡμετέρων αὑτοῖς οὗτοι παρεσκευάσαντο συνηγόρους, ἀναγκαῖον διὰ μακροτέρων δηλῶσαι περὶ αὐτῶν.

**4** Χαλεπὸν μὲν οὖν μηδὲν καταδεέστερον εἰπεῖν ὧν πεπόνθαμεν· ποῖος γὰρ ἂν λόγος ἐξισωθείη ταῖς ἡμετέραις δυσπραξίαις, ἢ τίς ἂν ῥήτωρ ἱκανὸς γένοιτο κατηγορῆσαι τῶν Θηβαίοις ἡμαρτημένων; Ὅμως δὲ πειρατέον, οὕτως ὅπως ἂν δυνώμεθα, φανερὰν καταστῆσαι τὴν τούτων παρανομίαν. **5** Πολὺ δὲ μάλιστ’

---

Γ (Δ) Θ Λ Π Ν

---

**5** Priscian. *Inst.* 18.257 (III, p. 339.10-14) [Priscian.$^{1}$], 18.258 (III, pp. 340.17-341.4) [Priscian.$^{2}$]

---

4 ἔνεστιν Γ Π$^{ac}$ : ἔνεστι ΛΠ$^{pc}$Ν : ἐστιν Θ πάντες **b** δὲ **a** 4-5 νομιοῦσιν ὑμᾶς πειθομένους Γ : πειθομένους νομιοῦσιν ὑμᾶς **b** : πειθομένους νομίσουσιν ὑμᾶς Θ 5 ὁσιοτάτους Θ καὶ] ἢ Ν Ἑλλήνων] ἀλλήνων (sic) Ν **3** 1 μὴ θηβαίους Γ ΘΛ$^{1sl}$ **c** : θηβαίους Δ Λ$^{it}$ : Θηβαίους μόνους coni. Auger, III, pp. 26-27 2 πείθειν Γ$^{ac}$ : π. ὑμᾶς Γ$^{2pc}$ **a** ἐξημαρτήκασιν Γ : -σι Δ **a** 3 δὲ **b** ἥκομεναστυχίας (sic) Π ἡμῖν εἶναι] εἶναι ἡμῖν Θ 4 πρὸς$^{2}$ om. **a** δυνατωτάτους Γ : ἱκανωτάτους **a**, nescio an recte : sign. Γ$^{3}$ τῶν$^{2}$] πάντων Ν$^{ac}$, corr. Ν$^{?}$ 5 αὑτοῖς Θ$^{2pc}$Λ : αὐτοῖς Γ Θ$^{ac}$ΠΝ$^{1sl}$ : αὐτῆς Ν$^{it}$ **4** 2 ῥήτορ (sic) Ν$^{it}$, -ω- Ν$^{1sl}$ γένηται **b** 3 Θηβαίοις] -ων Λ$^{ac}$, corr. Λ$^{1?}$ εἰς ἡμᾶς ἡμαρτημένων **b** πειρατέον ἐστὶν Γ$^{2mg}$Δ ὅπως] ὡς Θ ἂν om. Δ$^{ac}$, add. Δ$^{1?sl}$ **5** 1 πολὺ Γ **a** Priscian.$^{2}$ : πολλοι (l. πολλῷ) Priscian.$^{1}$ μάλιστ’ coni. Baiter, *Excursus*, p. 219 (cf. Benseler, *Areop.*, p. 415, *De hiatu*, p. 19, *Orationes*, I, p. IX) : -στα Γ **a** Priscian.

ἀγανακτοῦμεν ὅτι τοσούτου δέομεν τῶν ἴσων ἀξιοῦσθαι τοῖς ἄλλοις Ἕλλησιν ὥστ’ εἰρήνης οὔσης καὶ συνθηκῶν γεγενημένων οὐχ ὅπως τῆς κοινῆς ἐλευθερίας μετέχομεν, ἀλλ’ οὐδὲ δουλείας μετρίας τυχεῖν ἠξιώθημεν.

**6** Δεόμεθ’ οὖν ὑμῶν, ὦ ἄνδρες ’Αθηναῖοι, μετ’ εὐνοίας ἀκροάσασθαι τῶν λεγομένων, ἐνθυμηθέντας ὅτι πάντων ἂν ἡμῖν ἀλογώτατον εἴη συμβεβηκός, εἰ τοῖς μὲν ἅπαντα τὸν χρόνον δυσμενῶς πρὸς τὴν πόλιν ὑμῶν διακειμένοις αἴτιοι γεγένησθε τῆς ἐλευθερίας, ἡμεῖς δὲ μηδ’ ἱκετεύοντες ὑμᾶς τῶν αὐτῶν τοῖς ἐχθίστοις τύχοιμεν.

**7** Περὶ μὲν οὖν τῶν γεγενημένων οὐκ οἶδ’ ὅ τι δεῖ μακρολογεῖν· τίς γὰρ οὐκ οἶδεν ὅτι καὶ τὴν χώραν ἡμῶν κατανενέμηνται καὶ τὴν πόλιν κατεσκάφασιν; Ἃ δὲ λέγοντες ἐλπίζουσιν ἐξαπατήσειν ὑμᾶς, περὶ τούτων πειράσομαι διδάσκειν.

---

Γ (Δ) Θ Λ Π Ν

---

**7** 2 κατεσκάφασιν cf. **8-10**

---

2 ὅτι τοσούτου δέομεν om. Θ    τοσούτου Γ Priscian.$^{2}$ (M) : τοσούτῳ **b** : ουτων Priscian.$^{1}$ (V) Priscian.$^{2}$ (VRO), οιτων Priscian.$^{1}$ (M), ουτον Priscian.$^{1}$ (O), i.e. fort. ‹τοσ›ούτων vel ‹τοσ›οῦτον (cf. Keil, *Analecta*, p. 136) : οὕτως Priscian.$^{1}$ (R)    δέομεν Γ **a** : δεομενων Prisc.$^{1}$ (VRM) Priscian.$^{2}$ : δεομενον Priscian.$^{1}$ (O)    τῶν ἴσων N$^{1ras}$ : [N$^{ac}$]    ἕλλησιν ⟦...⟧ Γ    3 ὥστε **a** Priscian. οὔσης Γ **a** Priscian.$^{2}$ (O) : om. Priscian. (cett.)    συνθήκης Priscian.    ἐλευθερίας] ἐ Θ$^{1pc}$    4 μετέχομεν Γ$^{pc}$ **a** Priscian.$^{2}$ (O) : οὐ μ- Γ$^{ac}$ (vid.) Priscian. (cett.)    δουλείας Γ ΘΛ Priscian. : -αις **c**    μετρίας τυχεῖν ἠξιώθημεν Γ **c** Priscian. : τ. ἠ. μ. Θ : μ. ἠ. τ. Λ    **6** 1 δεόμεθ’ Γ Θ$^{2pc}$ : δεόμεθα **b** : οὐ δεόμεθ’ Θ$^{ac}$    2 ὑμῖν Θ    συμβεβηκώς N$^{ac}$, corr. N$^{1}$    3 τοῖς μὲν Γ : Θηβαίοις μὲν τοῖς **a**    διακειμένοις Γ ΘΛN$^{1sl}$ : -νους ΠN$^{it}$    4 γεγένησθε **a** (γεγενῆσθε Λ$^{ac}$ vid.) : γένοισθε ΓΔ$^{1?pc}$ (οισ in ras.) : [Δ$^{ac}$]    ἡμεῖς Γ$^{1pc}$ **a** : ὑ- Γ$^{ac}$    **7** 1 οὖν om. **c**    δὲ δεῖ N$^{ac}$, corr. N$^{?}$    3 ἐλπίζουσιν Γ$^{1pc}$ **a** : -σι Γ$^{ac}$    ὑμᾶς περὶ τούτων Γ : περὶ τούτων ὑμᾶς **a**    πειρασόμεθα **b**

**8** ’Ενίοτε γὰρ ἐπιχειροῦσι λέγειν ὡς διὰ τοῦτο πρὸς ἡμᾶς οὕτω προσηνέχθησαν, ὅτι συντελεῖν αὐτοῖς οὐκ ἠθέλομεν. Ὑμεῖς δ’ ἐνθυμεῖσθε πρῶτον μὲν εἰ δίκαιόν ἐστιν ὑπὲρ τηλικούτων ἐγκλημάτων οὕτως ἀνόμους καὶ δεινὰς ποιεῖσθαι τὰς τιμωρίας, ἔπειτ’ εἰ προσήκειν ὑμῖν δοκεῖ μὴ πεισθεῖσαν τὴν Πλαταιέων πόλιν, ἀλλὰ βιασθεῖσαν Θηβαίοις συντελεῖν. ’Εγὼ μὲν γὰρ οὐδένας ἡγοῦμαι τολμηροτέρους εἶναι τούτων, οἵτινες τὰς μὲν ἰδίας ἡμῶν ἑκάστων πόλεις ἀφανίζουσιν, τῆς δὲ σφετέρας αὐτῶν πολιτείας οὐδὲν δεομένους κοινωνεῖν ἀναγκάζουσιν. **9** Πρὸς δὲ τούτοις οὐδ’ ὁμολογούμενα φαίνονται διαπραττόμενοι πρός τε τοὺς ἄλλους καὶ πρὸς ἡμᾶς. ’Εχρῆν γὰρ αὐτούς, ἐπειδὴ πείθειν ἡμῶν τὴν πόλιν οὐχ οἷοί τ’ ἦσαν, ὥσπερ τοὺς Θεσπιέας καὶ τοὺς Ταναγραίους, συντελεῖν μόνον εἰς τὰς Θήβας ἀναγκάζειν· οὐδὲν γὰρ ἂν τῶν ἀνηκέστων κακῶν ἦμεν πεπονθότες. Νῦν δὲ φανεροὶ γεγόνασιν οὐ τοῦτο διαπράξασθαι βουληθέντες,

Γ (Δ) Θ Λ Π Ν

**8-10** respicit Marcellin. in Syrian. Sopat. Marcellin. *Hermog. Stat.* pp. 381.3-8 illustrans eas quae dicuntur ἀντιπαράστασις (“εἰ καὶ ἡμαρτάνομεν, πείθειν οὐ κατασκάπτειν [cf. **7** 2, **19** 4, **35** 4] ἐχρῆν”) et ἔνστασις (“οὐδὲ ἐξῆν ἐπιτάττειν· κατὰ γὰρ τὸ δίκαιον καὶ ὑμᾶς ’Ορχομενίοις συντελεῖν ἔδει”)

**8** 1 ἐνίοτε] ἔνιοί τε μὲν **b** ἐπιχειροῦσι Γ : τολμῶσι **a** : sign. Γ$^{3}$ οὕτω⟦.⟧ Γ (οὕτω⟦ς⟧?) 2 ἐθέλομεν **b** 2-3 πρῶτον μὲν] μ. π. Θ 3 ἐγκλημάτων Γ$^{2pc}$ **a** : om. Γ$^{ac}$ ἀνόμως Θ$^{ac}$, corr. Θ$^{1}$ 4 ἔπειτ’ εἰ Γ ΛΠ$^{1pc}$Ν (εἰ fort. super η Ν) : ἔπειτα εἰ Θ : ἔπει Π$^{ac}$ προσήκειν … δοκεῖ Δ$^{pc}$ ΘΛΠΝ$^{pc}$ (δοκεῖ⟦ν⟧ et Γ$^{3}$) : προσήκειν … δοκεῖν Γ$^{ac}$ Ν$^{ac}$ : προσήκει … δοκεῖν Γ$^{pc}$Δ$^{ac}$ 5 πλατεαίων Λ θηβαίοις **a** : ἡμῖν θ. Γ$^{ac}$ : ἡμῖν καὶ θ. Γ$^{1pc}$Δ$^{pc}$ : ὑμῖν καὶ θ. Δ$^{ac}$ : sign. Γ$^{3}$ συνθελεῖν Ν$^{ac}$, corr. Ν$^{1}$ 6 τολμηροτέρους εἶναι τολμη Ν$^{ac}$, corr. Ν$^{1}$ inter scrib. πόλεισ⟦.⟧ Π (ει ex corr.) 7 ἀφανίζουσιν Γ : -σι Δ **a** 8 ἀναγκάζουσιν Γ : -σι Δ **a** **9** 1 οὐδ’] οὐχ Θ ὁμολογούμενα Γ Θ : ὁμολογοῦμεν ἃ ΛΠΝ$^{it}$ : ὁμολογοῦσι ἃ Ν$^{1sl}$ 2 ὑμῶν **c** 3 τε **b** θεσπιέας ΘΝ$^{it}$ : θεσπιαίας ΛΠΝ$^{1?sl}$ : θεσπιεῖς Γ : sign. Γ$^{3}$

ἀλλὰ τῆς χώρας ἡμῶν ἐπιθυμήσαντες. **10** Θαυμάζω δὲ πρὸς τί τῶν γεγενημένων ἀναφέροντες καὶ πῶς ποτε τὸ δίκαιον κρίνοντες ταῦτα φήσουσι προστάττειν ἡμῖν. Εἰ μὲν γὰρ τὰ πάτρια σκοποῦσιν, οὐ τῶν ἄλλων αὐτοῖς ἀρκτέον, ἀλλὰ πολὺ μᾶλλον Ὀρχομενίοις φόρον οἰστέον· οὕτω γὰρ εἶχεν τὸ παλαιόν· εἰ δὲ τὰς συνθήκας ἀξιοῦσιν εἶναι κυρίας, ὅπερ ἐστὶ δίκαιον, πῶς οὐχ ὁμολογήσουσιν ἀδικεῖν καὶ παραβαίνειν αὐτάς; Ὁμοίως γὰρ τάς τε μικρὰς τῶν πόλεων καὶ τὰς μεγάλας αὐτονόμους κελεύουσιν εἶναι.

**11** Οἶμαι δὲ περὶ μὲν τούτων οὐ τολμήσειν αὐτοὺς ἀναισχυντεῖν, ἐπ' ἐκεῖνον δὲ τρέψεσθαι τὸν λόγον, ὡς μετὰ Λακεδαιμονίων ἐπολεμοῦμεν, καὶ πάσῃ τῇ συμμαχίᾳ διαφθείραντες ἡμᾶς τὰ συμφέροντα πεποιήκασιν. **12** Ἐγὼ δ' ἡγοῦμαι μὲν χρῆναι μηδεμίαν μήτ' αἰτίαν μήτε κατηγορίαν μεῖζον δύνασθαι τῶν ὅρκων καὶ τῶν συνθηκῶν· οὐ μὴν ἀλλ' εἰ δεῖ τινὰς κακῶς παθεῖν διὰ τὴν Λακεδαιμονίων συμμαχίαν, οὐκ ἂν Πλαταιεῖς ἐξ ἁπάντων τῶν Ἑλλήνων προὐκρίθησαν δικαίως·

---

Γ (Δ) Θ Λ Π Ν

---

**10** 1 Θαυμάζω – 4 παλαιόν respicit Jo. Sicul. *Hermog. Id.* p. 193.8-12 illustrans eas quae dicuntur λύσις ("θαυμάζω […] ἀνθ' ὅτου Θηβαῖοι φόρους αὐτῆς [l. αὐτοῖς] παρακελεύονται φέρειν") et ἀντίθεσις ("εἰ μὲν τὰ παλαιὰ σκοποῦσι, καὶ τὰ ἑξῆς")

---

**10** 1 πρὸς τί] πρός τϊνα Θ 2 ἀναφέροντες Γ : ἀφορῶντες **a** πῶς ποτε Γ Θ$^{2pc}$ : πώποτε Θ$^{ac}$ : πῶς πώποτε **b** (πώποτε ex πόποτε N$^{1}$ inter scrib.) φήσουσιν Γ (φ fort. rescr. Γ$^{2}$) ἐπιτάττειν Marcellin. 3 γὰρ om. Jo.Sicul. πάτρια Γ **a** : παλαιὰ Jo.Sicul. (ex lin. seq. τὸ παλαιόν) 4 μᾶλλον Δ$^{pc}$ **a** : μᾶλλον ὃν ΓΔ$^{ac}$ : sign. Γ$^{3}$ γὰρ Γ$^{2?pc\ et\ mg}$ **a** : γε Γ$^{ac}$ : γε γὰρ Δ εἶχε Δ **a** : εἶχεν Γ 5 κυρίως N$^{ac}$, corr. N$^{1}$ ἐστὶ Δ **a** : ἐστὶν Γ 6 τῶν] τῶ Λ$^{ac}$, corr. Λ$^{2}$ 7 κελεύουσιν εἶναι Γ : εἶ. κ. **a** : sign. Γ$^{3}$ **11** 1 αὐτοὺς Γ **a** : αὐτὰς Δ ἐκεῖνον] ἐκεῖνο N$^{it}$, ν N$^{1sl}$ 2 τρέψεσθαι Γ Θ : τρέψασθαι ΛΠN$^{pc}$ : περιτρέψασθαι N$^{ac}$ 3 πεποιήκασιν] -καμεν Θ **12** 2 μήτε **a** μείζω **a** 3 τῶν om. Λ 4 προὐκρίθησαν Γ : προεκρίθησαν **b** : ἐκρίθησαν Θ

οὐ γὰρ ἑκόντες, ἀλλ’ ἀναγκασθέντες αὐτοῖς ἐδουλεύομεν. **13** Τίς γὰρ ἂν πιστεύσειεν εἰς τοῦθ’ ἡμᾶς ἀνοίας ἐλθεῖν ὥστε περὶ πλέονος ποιεῖσθαι τοὺς ἐξανδραποδισαμένους ἡμῶν τὴν πατρίδα μᾶλλον ἢ τοὺς τῆς πόλεως τῆς αὑτῶν μεταδόντας; ’Αλλὰ γὰρ, οἶμαι, χαλεπὸν ἦν νεωτερίζειν αὐτοὺς μὲν μικρὰν πόλιν οἰκοῦντας, ἐκείνων δ’ οὕτω μεγάλην δύναμιν κεκτημένων, ἔτι δὲ πρὸς τούτοις ἁρμοστοῦ καθεστῶτος καὶ φρουρᾶς ἐνούσης καὶ τηλικούτου στρατεύματος ὄντος Θεσπιᾶσιν, **14** ὑφ’ ὧν οὐ μόνον ἂν θᾶττον ἢ {ὑπὸ} Θηβαίων διεφθάρημεν, ἀλλὰ καὶ δικαιότερον· τούτους μὲν γὰρ εἰρήνης οὔσης οὐ προσῆκε μνησικακεῖν περὶ τῶν τότε γενομένων, ἐκεῖνοι δ’ ἐν τῷ πολέμῳ προδοθέντες εἰκότως ἂν παρ’ ἡμῶν τὴν μεγίστην δίκην ἐλάμβανον. **15** Ἡγοῦμαι δ’ ὑμᾶς οὐκ ἀγνοεῖν ὅτι πολλοὶ καὶ τῶν ἄλλων Ἑλλήνων τοῖς μὲν σώμασι μετ’ ἐκείνων ἀκολουθεῖν ἠναγκάζοντο, ταῖς δ’ εὐνοίαις μεθ’ ὑμῶν ἦσαν. Οὓς τίνα χρὴ προσδοκᾶν γνώμην ἕξειν, ἐὰν ἀκούσωσιν ὅτι Θηβαῖοι τὸν δῆμον τὸν ’Αθηναίων πεπείκασιν ὡς οὐδενός ἐστι φειστέον τῶν ὑπὸ Λακεδαιμονίοις γενομένων; **16** Ὁ γὰρ τούτων λόγος οὐδὲν

Γ (Δ) Θ Λ Π Ν

5 ἀλλὰ Θ    αὐτοῖς] τοῖς αὐτοῖς Λ    **13** 1 ἂν om. Ν    2 ἀγνοίας Θ    περὶ Γ$^{4sl}$ **a** : om. Γ$^{it}$    πλέονος scripsi : πλείονος Γ **a**    ποιεῖσθαι **a** : ποιήσασθαι Γ : sign. Γ$^{3}$    3 πατρίδα] πόλιν Λ    πόλεως] πόλεους (sic) Π    αὑτῶν Ξ Med : αὐ- Γ **a**    4 ἣν Θ$^{ac}$, corr. Θ$^{2}$    5 δ’ Γ Ν$^{1pc}$ (inter scrib.) : δὲ Λ (comp.) ΠΝ$^{ac}$ : om. Θ    οὕτω Δ **a** : οὕτωι (sic) Γ    6 ἁρμοστοῦ] οῦ Δ$^{1ras}$ : [Δ$^{ac}$]    φρουρὰς Θ$^{ac}$, corr. Θ$^{2}$    τηλικούτω Θ$^{ac}$, corr. Θ$^{2}$    ὄντος om. **c**    7 θεσπιάσιν Γ    **14** 1 οὐ μόνον ὑφ’ ὧν Θ    ἂν θᾶττον ἢ Γ Θ : ἂν ἔλαττον Λ$^{ac}$ : ἔλαττον ἂν Ν$^{it}$ : ἔλαττον ἂν ἢ ΠΝ$^{1sl}$ : οὐκ ἂν ἔλαττον ἢ Λ$^{2?pc}$    ὑπὸ del. Benseler, *Areop.*, p. 406 (cf. *De hiatu* p. 19, *Orationes*, I, p. ix)    2 τούτοις Λ    προσῆκε Δ **a** : -κεν Γ    3 γεγενημένων Γ    ἐκεῖνοι] ἐκεῖ Θ$^{ac}$, corr. Θ$^{2}$    δὲ **b**    **15** 1 οὐκ] οὐδὲ τοῦτο **b**    2 σώμασιν Ν    τοῖς μετ’ ἐκείνων Θ    3 ἡμῶν Θ    τίνα] α Δ$^{ras}$ (alia m.) : [Δ$^{ac}$]    ἐὰν scripsi : ἢν Γ : ἂν **a**    4 τὸν ’Αθηναίων coni. Dindorf, *Paneg.*, p. 22 : τῶν ἀ. Γ **a**    ἐστι Δ **c** : ἐστιν Γ : comp. Λ : om. Θ : sign. Γ$^{3}$    5 Λακεδαιμονίοις Γ ΛΝ : -ίων ΘΠ    **16** 1 Ὁ] οὐ Ν$^{ac}$ (ex lin. seq. οὐ γὰρ), corr. Ν$^{?}$

ἄλλ’ ἢ τοῦτο φανήσεται δυνάμενος· οὐ γὰρ ἰδίαν κατηγορίαν ποιούμενοι κατὰ τῆς πόλεως τῆς ἡμετέρας ἀπολωλέκασιν αὐτὴν, ἀλλ’ ἣν ὁμοίως καὶ κατ’ ἐκείνων ἕξουσιν εἰπεῖν. Ὑπὲρ ὧν βουλεύεσθαι χρὴ καὶ σκοπεῖν, ὅπως μὴ τοὺς πρότερον μισοῦντας τὴν ἀρχὴν τὴν Λακεδαιμονίων ἡ τούτων ὕβρις διαλλάξει καὶ ποιήσει τὴν ἐκείνων συμμαχίαν αὑτῶν νομίζειν εἶναι σωτηρίαν.

**17** ’Ενθυμεῖσθε δ’ ὅτι τὸν πόλεμον ἀνείλεσθε τὸν ὑπογυώτατον οὐχ ὑπὲρ τῆς ὑμετέρας οὐδ’ ὑπὲρ τῆς τῶν συμμάχων ἐλευθερίας – ἅπασι γὰρ ὑπῆρχεν ὑμῖν – ἀλλ’ ὑπὲρ τῶν παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας τῆς αὐτονομίας ἀποστερουμένων. Ὃ δὴ καὶ πάντων σχετλιώτατον, εἰ τὰς πόλεις ἃς οὐκ ᾤεσθε δεῖν Λακεδαιμονίοις δουλεύειν, ταύτας περιόψεσθε νῦν ὑπὸ Θηβαίων ἀπολλυμένας, οἳ τοσούτου δέουσι μιμεῖσθαι τὴν πραότητα τὴν ὑμετέραν, **18** ὥσθ’, ὃ δοκεῖ πάντων δεινότατον εἶναι, δοριαλώτους γενέσθαι, τοῦτο κρεῖττον ἦν ἡμῖν

Γ (Δ) Θ Λ Π Ν

2 ἄλλ’ ἢ Γ Λ : ἄλλο ἢ Θ : ἀλλ’ ἢ **c** οὐ γὰρ ΓΔ$^{1pc}$ (ex ουτ inter scrib.) ΘΠ$^{it}$ : οὐδὲ γὰρ ΛΠ$^{1sl}$Ν τῆς πόλεως τῆς ἡμετέρας Γ Θ : τῆς ἡμετέρας πόλεως **b** ἀπολωλέκασιν Δ$^{1pc}$ **a** : ἀποδεδώκασιν ΓΔ$^{ac}$ : sign. Γ$^{3}$ 3 ἐκείνων Γ$^{1pc}$ (inter scrib.) Δ **a** : ἐκεῖνον Γ$^{ac}$ 4 ὅπως] οὕτως ὅπως Ν$^{ac}$, corr. Ν$^{?}$ μὴ τοὺς Γ ΘΛΝ$^{pc}$ (alia m.) : τοὺς μὴ ΠΝ$^{ac}$ 5 διαλλάξει καὶ ποιήσει Γ$^{ac}$Δ Θ **c** : διαλλάξῃ καὶ ποιήσῃ Γ$^{pc}$ (manus recentissima vid.) Λ 6 ξυμμαχίαν Ν : συμαχίαν (sic) Π αὑτῶν Ξ Mon Med : αὐ- Δ a : incertum Γ σωτηρίαν εἶναι **b** **17** 1 ’Ενθυμεῖσθε] -σθαι Λ$^{ac}$, corr. Λ$^{1}$ δὲ **a** ὑπογυώτατον Γ **a** : ὑπογυότατον coni. Drerup, *Opera*, p. 165 (*Euag.* 81) : ὑπογυιότατον coni. Bekker$^{1}$, p. 406 = Bekker$^{2}$, p. 336 (ὑπογυιώτατον iam Wolf, II, col. 832) οὐκ Ν 2 ὑμετέρας Γ$^{ac}$ **b** (ἡ- Ν) : ὑμετέρας σωτηρίας Γ$^{5pc}$Θ (ἡ- Θ) : sign. Γ$^{3}$ οὐδ’ Γ ΘΝ : οὐδὲ ΛΠ ἐλευθερίας Γ$^{5pc}$ **a** : σωτηρίας Γ$^{ac}$ ἅπασι Δ **a** : -σιν Γ 3 ὑμῖν Θ **c** (ὑμεῖν Ν) : ἡμῖν Γ Λ ἀλλ’] ἀλλὰ ἀλλὰ (sic) Θ τοὺς] τοῖς Ν$^{ac}$, corr. Ν$^{?}$ 4 σχελιώτατον (sic) Π εἰ] εἰς Θ$^{ac}$, corr. Θ$^{2}$ ᾤεσθε Γ : οἴεσθε ΘΛΠ$^{pc}$Ν : οἴεσθαι Π$^{ac}$ 6 τοσούτου Γ ΘΛ$^{1pc}$Π$^{pc}$Ν : τοσοῦτον Λ$^{ac}$Π$^{ac}$ δέουσιν Ν ὑμετέραν] ἡ- Λ$^{ac}$, corr. Λ$^{2?}$ **18** 1 ὥσθ’ Γ$^{1pc}$ **a** : ὡς Γ$^{ac}$ 2 δεινώτατον Π δοριαλώτους Γ ΛΠ : δορυ- Δ ΘΝ

παθεῖν ὑπὸ ταύτης τῆς πόλεως ἢ τούτων τυχεῖν ὁμόρους ὄντας· οἱ μὲν γὰρ ὑφ’ ὑμῶν κατὰ κράτος ἁλόντες εὐθὺς μὲν ἁρμοστοῦ καὶ δουλείας ἀπηλλάγησαν, νῦν δὲ τοῦ συνεδρίου καὶ τῆς ἐλευθερίας μετέχουσιν· οἱ δὲ τούτων πλησίον οἰκοῦντες, οἱ μὲν οὐδὲν ἧττον τῶν ἀργυρωνήτων δουλεύουσιν, τοὺς δ’ οὐ πρότερον παύσονται πρὶν ἂν οὕτως ὥσπερ ἡμᾶς διαθῶσιν. **19** Καὶ Λακεδαιμονίων μὲν κατηγόρουν, ὅτι τὴν Καδμείαν κατέλαβον καὶ φρουρὰς εἰς τὰς πόλεις καθίστασαν, αὐτοὶ δ’ οὐ φύλακας εἰσπέμποντες, ἀλλὰ τῶν μὲν τὰ τείχη κατασκάπτοντες, τοὺς δ’ ἄρδην ἀπολλύοντες, οὐδὲν οἴονται δεινὸν ποιεῖν, ἀλλ’ εἰς τοῦτ’ ἀναισχυντίας ἐληλύθασιν, ὥστε τῆς μὲν αὑτῶν σωτηρίας τοὺς συμμάχους ἅπαντας ἀξιοῦσιν ἐπιμελεῖσθαι, τῆς δὲ τῶν ἄλλων δουλείας αὑτοὺς κυρίους καθιστᾶσιν. **20** Καίτοι τίς οὐκ ἂν μισήσειε τὴν τούτων πλεονεξίαν, οἳ τῶν μὲν ἀσθενεστέρων ἄρχειν ζητοῦσιν, τοῖς δὲ κρείττοσιν ἴσον ἔχειν οἴονται δεῖν, καὶ τῇ μὲν ὑμετέρᾳ πόλει τῆς γῆς τῆς ὑπ’ ’Ωρωπίων δεδομένης φθονοῦσιν, αὐτοὶ δὲ βίᾳ τὴν ἀλλοτρίαν χώραν

---

π3 (**20** 3 κρείττοϲ]ιν ἴϲ[ον –); Γ (Δ) Θ Λ Π Ν

---

**19** 4 κατασκάπτοντες cf. **8-10**

---

4 ὑμῶν ΓΔ$^{ac}$ : ἡμῶν Δ$^{pc}$ **a** (ἥ- Θ)  5 τούτων] τοῦτον Ν$^{ac}$, corr. Ν$^{1?}$  6 μὲν] μὲν οὖν Ν  ἀργυρωνήτων] ρω Δ$^{1ras}$ : [Δ$^{ac}$]  δουλεύουσιν Γ Π$^{ac}$ : -σι Δ ΘΛΠ$^{pc}$Ν  παύσονται Γ$^{ac}$ : παύσονται κακῶς ποιοῦντες Γ$^{5pc}$ **a** : sign. Γ$^{3}$  7 διαθῶσιν Γ : -σι Δ **a**  **19** 1 κατηγοροῦσιν **a**, nescio an recte  2 καθίστασαν Γ : καθΐστων Θ : καθιστᾶσιν **b**  3 δ’ Γ ΘΝ : δὲ ΛΠ  4 ἀπολλύοντες Γ$^{2pc}$ : ἀπολύοντες Γ$^{ac}$ : ἀπολοῦντες Θ **c** : ἀπολλύντες Λ  τοῦτο **a**  ἀναισχυντίας Γ$^{ac}$ : ἀ. καὶ πονηρίας Γ$^{5pc}$ **a** : sign. Γ$^{3}$  5 ἐληλύθασιν] -σι Θ$^{it}$, ν Θ$^{2sl}$  αὑτῶν Ξ Par.2931 Par.2990 : αὐ- Γ **a**, nescio an recte  6 αὑτοὺς Γ$^{pc}$ : αὐ- Γ$^{ac}$ **a**  καθιστᾶσιν Γ Ν : -σι Δ ΘΛΠ **20** 2 μισήσειε Δ$^{pc}$ ΘΛΠΝ$^{1sl}$ (μησ- Ν$^{it}$) : μισήσειεν ΓΔ$^{ac}$  ἄρχειν Γ ΘΛΝ$^{1sl}$ : ἄρχην (sic) Π : ἀρχὴν Ν$^{it}$  3 ζητοῦσιν Γ : -σι Δ **a**  ἴσον Δ : ἶσον Γ$^{2}$ (ϊ- Γ$^{1}$) **a** : ιϲ[ον π3  οἴονται] -ντε Ν : [π3] 4 τῆς ὑπ’ π3 Γ Θ : τῆς ὑπὸ Λ$^{1pc}$ **c** : ὑπὸ Λ$^{ac}$  ’Ωρωπίων π3 (ωρω[) Γ$^{2pc}$ Θ$^{1pc}$ (ὡ-) Λ$^{1pc}$ (ὡ-) **c** : ὡρωπιῶν Λ$^{ac}$ : ὀρωπίων Γ$^{1pc}$ Θ$^{ac}$ : ὀροπίων Γ$^{ac}$

κατανέμονται;

**21** Καὶ πρὸς τοῖς ἄλλοις κακοῖς λέγουσιν ὡς ὑπὲρ τοῦ κοινοῦ τῶν συμμάχων ταῦτ' ἔπραξαν. Καίτοι χρῆν αὐτούς, ὄντος ἐνθάδε συνεδρίου καὶ τῆς ὑμετέρας πόλεως ἄμεινον βουλεύεσθαι δυναμένης ἢ τῆς Θηβαίων, οὐχ ὑπὲρ τῶν πεπραγμένων ἥκειν ἀπολογησομένους, ἀλλὰ πρὶν ποιῆσαί τι τούτων ἐλθεῖν ὡς ὑμᾶς βουλευσομένους. **22** Νῦν δὲ τὰς μὲν οὐσίας τὰς ἡμετέρας ἰδίᾳ διηρπάκασιν, τῆς δὲ διαβολῆς ἅπασι τοῖς συμμάχοις ἥκουσι μεταδώσοντες. Ἣν ὑμεῖς, ἐὰν σωφρονῆτε, φυλάξεσθε· πολὺ γὰρ κάλλιον τούτους ἀναγκάσαι μιμήσασθαι τὴν ὁσιότητα τὴν ὑμετέραν ἢ τῆς τούτων παρανομίας αὐτοὺς πεισθῆναι μετασχεῖν, οἳ μηδὲν τῶν αὐτῶν τοῖς ἄλλοις γιγνώσκουσιν. **23** Οἶμαι γὰρ ἅπασι φανερὸν εἶναι, διότι προσήκει τοὺς εὖ φρονοῦντας ἐν μὲν τῷ πολέμῳ σκοπεῖν, ὅπως ἐκ παντὸς τρόπου πλέον ἕξουσι τῶν ἐχθρῶν, ἐπειδὰν δ' εἰρήνη γένηται, μηδὲν

π3; Γ (Δ) Θ Λ Π Ν

**21** 2 ταῦτ' π3 Γ **b** : ταῦτα Θ    χρὴν Θ$^{ac}$, corr. Θ$^{2}$    ἐνθάδε Γ **a** : τ̣α̣υ̣θ̣ο̣ π3 (Messeri Savorelli, antea ἐ̣ν̣θ̣ά̣δ̣ε̣ Samuel in textu vel ἔ̣ν̣θ̣α̣ Samuel in app. et Stephens)    ὑμετέρας Γ Λ$^{1pc}$ **c** : ἡμετέρας ΘΛ$^{ac}$ : ̣μετερας π3    3 τῆς π3 Γ **b** : τῶν Θ (at punctis s.l. et in mg. notavit nescioqua manus, cf. **28** 2)    3 τῶν π3 Γ **a** : del. Dobree, *Advers.*, p. 277    4 τι π3 Γ$^{1 vel 2 sl}$ **a** : om. Γ$^{ac}$    4-5 ὡς ὑμᾶς π3 (ωc υ]μαc sp. rat.) Γ **b** : πρὸς ἡμᾶς Θ    **22** 1 ἡμετέρας π3 Γ ΘΛ$^{1pc}$Ν : ὑ- Λ$^{ac}$Π    ἰδίᾳ π3 ([ιδια]ι vid., sp. rat.) Γ **a** : βίᾳ coni. Mandilaras (etiam ad *De pace* 46)    διηρπάκασιν π3 (δ[ιηρ]π-) Γ$^{1pc}$ (inter scrib.) : διηρπάκασι Δ ΘΛΝ$^{1sl}$ : διηρπάσασιν Γ$^{ac}$ : διηπάκασι ΠΝ$^{it}$    2 τῆς δὲ διαβολῆς ἅπασι π3 Γ$^{2pc}$ **a** : om. Γ$^{ac}$    ἥκουσι Δ **a** : -σιν π3 Γ    μεταδόσοντες Ν$^{ac}$, corr. Ν$^{1}$ inter scrib.    2-3 ἐὰν σωφρονῆτε scripsi : αν σωφ[ρο]νητε̣ π3 : ἣν σωφρονῆτε Γ **b** (ἧν σοφρ- Π) : σὺν σωφροσύνῃ τὲ Θ    3 φυλάξεσθε Γ Λ : φυλάξετε Ν$^{sl}$ (alia manus) : φυλάξατε ΠΝ$^{it}$ : [φ]υ̣λαξ[ π3 : φυλάττεσθε Θ : sign. Γ$^{3}$    γὰρ bis Π$^{ac}$, γὰρ$^{1}$ exp. nescioqua manus    4 οὐσιότητα Θ$^{ac}$, corr. Θ$^{2}$    ὑμετέραν π3 Γ ΘΛ$^{ac}$ **c** : ἡ- Λ$^{1pc}$    μετασθεῖν Δ$^{ac}$, corr. Δ$^{1}$ inter scrib.    5 μηθεν π3    γιγνώσκουσιν π3 Γ Ν$^{1sl}$ : γινώσκουσιν ΘΛΠ : γιγνώσκειν Ν$^{it}$    **23** 1 ἅπασι **a** : -σιν Γ : [π3]    1-2 φανερὸν εἶναι διότι Θ : εἶναι φανερὸν διότι Γ : ειν]α̣ι φανερον οτι π3 : φανερὸν εἶναι ὅτι **b**    2 εὖ φρονοῦντας Γ$^{2}$ **a** : ευφρονοῦντας Γ$^{1}$ : [π3]    3 ἕξουσι Δ ΘΛΠ : -σιν π3 Γ Ν    ἐπειδὰν Γ Θ : ἐπειδ' ἂν ΛΠ : ἐπεὶ δ' ἂν Ν : [π3]    δ' Γ Θ : δὲ **b** : [π3]    μηθεν π3

περὶ πλέονος ποιεῖσθαι τῶν ὅρκων καὶ τῶν συνθηκῶν. **24** Οὗτοι δὲ τότε μὲν ἐν ἁπάσαις ταῖς πρεσβείαις ὑπὲρ τῆς ἐλευθερίας καὶ τῆς αὐτονομίας ἐποιοῦντο τοὺς λόγους· ἐπειδὴ δὲ νομίζουσιν αὑτοῖς ἄδειαν γεγενῆσθαι, πάντων τῶν ἄλλων ἀμελήσαντες ὑπὲρ τῶν ἰδίων κερδῶν καὶ τῆς αὑτῶν βίας λέγειν τολμῶσιν, **25** καί φασιν τὸ Θηβαίους ἔχειν τὴν ἡμετέραν, τοῦτο συμφέρον εἶναι τοῖς συμμάχοις, κακῶς εἰδότες ὡς οὐδ᾽ αὐτοῖς τοῖς παρὰ τὸ δίκαιον πλεονεκτοῦσιν οὐδὲν πώποτε συνήνεγκεν, ἀλλὰ πολλοὶ δὴ τῆς ἀλλοτρίας ἀδίκως ἐπιθυμήσαντες περὶ τῆς αὑτῶν δικαίως εἰς τοὺς μεγίστους κινδύνους κατέστησαν.

**26** ᾿Αλλὰ μὴν οὐδ᾽ ἐκεῖνό γ᾽ ἕξουσι λέγειν, ὡς αὐτοὶ μέν, μεθ᾽ ὧν ἂν γένωνται, πιστοὶ διατελοῦσιν ὄντες, ἡμᾶς δ᾽ ἄξιον φοβεῖσθαι μὴ κομισάμενοι τὴν χώραν πρὸς Λακεδαιμονίους ἀποστῶμεν· εὑρήσετε γὰρ ἡμᾶς μὲν δὶς

---

π3 (– **26** 2 δια]τ̣ε̣[λοῦϲιν); Γ (Δ) Θ Λ Π Ν

---

4 πλέονος ΓΔ$^{mg}$ (alia m.) : πλείονος π3 Δ$^{it}$ **a** ποιεῖσθαι Γ **a** : ποιειν π3 (sp. rat.) **24** 1 μὲν bis N 2 ἁπάσαις π3 (απ[) Γ **b** : πάσαις Θ ὑπὲρ π3 Γ **b** : om. Θ τῆς$^{1}$] τοῖς N$^{ac}$, corr. N$^{1}$ 3 αὑτοῖς Ξ Leid Med : αὐ- Γ **a** : [π3] γεγενῆσθαι πάντων π3 Γ Θ : γεγενῆσθαι ποιεῖν ὅ τι ἂν βουληθῶσιν ἁπάντων **c** : εἶναι ποιεῖν ὅ τι ἂν βουληθῶσιν ἁπάντων Λ 4 αὑτῶν Ξ Leid Med : αὐτῶν Γ (αυ- Γ$^{1}$, αὐ- Γ$^{2}$) **a** : α[ π3 τολμῶσιν π3 (]ω̣ϲιν) Γ : -σι Δ **a** **25** 2 καί φασιν] και φασι(ν) Γ (vid.) : καὶ φασὶ Δ ΘΛΠ : καὶ φάσὶν (sic) N ϲυμφορον π3 τοῖς συμμάχοις π3 (vid., sp. rat.) Γ$^{it}$Δ **b** : καὶ τ. σ. Γ$^{5sl}$Θ 3 οὐδ᾽ αὐτοῖς τοῖς π3 (sp. rat.) ΘΛΝ : οὐδ᾽ αὐτοῖς Π : οὐδὲν τοῖς Γ οὐδὲν **a** : οὐδὲ Γ : [π3] 4 συνήνεγκεν π3 (ϲυνηνεγ[) Γ ΘΛΠN$^{1pc}$ (ε$^{2}$ male scr. Λ) : συνενεγκεῖν N$^{ac}$ δὴ π3 (]η) Γ ΘΛ$^{1pc}$N$^{1pc}$ (alterum δ ante πολλοὶ Θ$^{ac}$, del. Θ$^{1}$ inter scrib.) : διὰ ΠN$^{ac}$ : om. Λ$^{ac}$ ἀδίκως Γ **b** : δικαίως Θ (δι fort. ex corr.) : [π3] τῆς] τη ex το corr. N$^{1}$ inter scrib. αὑτῶν coni. Bekker$^{1}$, p. 408 = Bekker$^{2}$, p. 338 (tamquam in Γ legeret) : αὐ- Γ Θ : ἑαυ- **b** : [π3] 5 δικαίως εἰς τοὺς μεγίστους κινδύνους π3 (sp. rat.) Γ (δικαίως ex -ος corr. Γ$^{1}$ inter scrib.) : εἰς τοὺς μεγίστους κινδύνους δικαίως **b** : εἰς μεγίστους κινδύνους Θ **26** 1 οὐδ᾽ Γ Λ : οὐδὲ Θ **c** : ουδε[ π3 γ᾽ Γ : γε **a** : [π3] ἕξουσι Δ **a** (ἕ- Π) : -σιν Γ : [π3] 2 δὲ **a** κομι∗∗∗σάμενοι Γ (κ rescr. Γ$^{2ras}$ vid.) 3 εὑρήσετε Γ Λ$^{1pc}$ **c** (εὐ- Π) : -ται ΘΛ$^{ac}$

ἐκπεπολιορκημένους ὑπὲρ τῆς φιλίας τῆς ὑμετέρας, τούτους δὲ πολλάκις εἰς ταύτην τὴν πόλιν ἐξημαρτηκότας. **27** Καὶ τὰς μὲν παλαιὰς προδοσίας πολὺ ἂν ἔργον εἴη λέγειν· γενομένου δὲ τοῦ Κορινθιακοῦ πολέμου διὰ τὴν ὕβριν τὴν τούτων, καὶ Λακεδαιμονίων μὲν ἐπ' αὐτοὺς στρατευσάντων, δι' ὑμᾶς δὲ σωθέντες, οὐχ ὅπως τούτων χάριν ἀπέδοσαν, ἀλλ' ἐπειδὴ διελέλυσθε τὸν πόλεμον, ἀπολιπόντες ὑμᾶς εἰς τὴν Λακεδαιμονίων συμμαχίαν εἰσῆλθον. **28** Καὶ Χῖοι μὲν καὶ Μυτιληναῖοι καὶ Βυζάντιοι συμπαρέμειναν, οὗτοι δὲ τηλικαύτην πόλιν οἰκοῦντες οὐδὲ κοινοὺς σφᾶς αὐτοὺς παρασχεῖν ἐτόλμησαν, ἀλλ' εἰς τοῦτ' ἀνανδρίας καὶ πονηρίας ἦλθον, ὥστ' ὤμοσαν ἦ μὴν ἀκολουθήσειν μετ' ἐκείνων ἐφ' ὑμᾶς τοὺς διασώσαντας τὴν πόλιν αὐτῶν· ὑπὲρ ὧν δόντες τοῖς θεοῖς δίκην

Γ (Δ) Θ Λ Π Ν

**27** 3 καὶ Λακεδαιμονίων – 5 εἰσῆλθον Priscian. *Inst.* 18.257 (III, pp. 339.14-340.3) [Priscian.[1]], 18.258 (III, p. 341.4-8) [Priscian.[2]]

4 ἐκπεπολιορκουμένους Θ$^{ac}$, corr. Θ$^{2}$ ἡμετέρας Ν 5 ταυτηνὶ **a** **27** 1 προδοσίας Γ ΘΛΝ$^{sl}$ (alia m. vid.) : προσοδίας ΠΝ$^{it}$ 2 εἴη] εἰ*** Θ$^{ac}$, corr. Θ$^{2}$ διὰ τὴν] διατριβὴν Ν$^{ac}$, corr. Ν$^{?}$ 3 καὶ Γ ΘΛ Priscian. (κα Priscian.[1]) : om. **c** ἐπ' αὐτοὺς] εἰς ὑμᾶς Priscian. αὐτοὺς] α rescr. Γ$^{2}$ στρατευσάντων Γ **a** Priscian.[2] : -σάτων Priscian.[1] δι' ὑμᾶς Γ **a** Priscian.[2] : δ' ὑμᾶς Priscian.[1] δὲ Γ Θ$^{ac}$ **b** Priscian.[2] : del. Θ$^{2}$, om. Priscian.[1] σωθέντες Γ **a** Priscian.[1] : σωθέντων Priscian.[2] 4 διελέλυσθε ΓΔ$^{ac}$ : διελύσασθε Δ$^{pc}$ (fort. alia m.) **a** (-σθαι Π) Priscian.[2] (O) : διελύεσθαι (lege διελύεσθε) Priscian.[1] (VRMO) Priscian.[2] (VRM) 4-5 πόλεμον ἀπολιπόντες] πόλεμον ἀπολείποντες Priscian.[2] : πολειποντες (μον απολε om.) Priscian.[1] 5 Λακεδαιμονίων] ω rescr. Λ$^{1}$ εἰσῆλθον] συνῆλθον Ν$^{ac}$, corr. Ν$^{1}$ **28** 1 καὶ ante Χῖοι fort. del. Θ$^{2}$ Χίοι **a** 2 Μυτιληναῖοι coni. Bekker[1], p. 408 = Bekker[2], p. 338 : Μιτυληναῖοι Γ **a** συμπαρέμειναν] συνπ- Ν post συμπαρέμειναν add. ἀλλ' εὐθὺς εἰς Λακεδαίμονα πρέσβεις Θ (ex **29** 2-3, at punctis in mg. notavit nescioqua manus, cf. **21** 3) δὲ om. Ν$^{ac}$, add. Ν$^{1}$ 3 οικουν οἰκοῦντες Γ$^{ac}$, corr. Γ$^{2?}$ σφᾶς Γ Θ$^{2pc}$ : σφὰς Θ$^{ac}$ **b** τοῦτ' Γ Ν : τοῦτο ΘΛΠ 4 ἀνανδρίας] -εί- fort. Γ$^{ac}$, -ί- Γ$^{2ras}$ post πονηρίας add. καὶ ἀφροσύνης **b** ὥστε **a** ἦ μὴν Γ$^{1pc}$Δ$^{pc}$ ΛΝ : ἢ μὴν ΘΠ : ἡμῖν Γ$^{ac}$Δ$^{ac}$ ἀκολουθήσειν Δ$^{pc}$ **a** : -σειεν ΓΔ$^{ac}$ : sign. Γ$^{3}$ 5 ἡμᾶς Θ τοῖς θεοῖς δίκην Γ Θ : τοῖς θεοῖς δίκας ΛΠΝ$^{1pc}$ : τοῖς δίκας θεοῖς Ν$^{ac}$

καὶ τῆς Καδμείας καταληφθείσης ἠναγκάσθησαν ἐνθάδε καταφυγεῖν. Ὅθεν καὶ μάλιστ’ ἐπεδείξαντο τὴν αὑτῶν ἀπιστίαν· **29** σωθέντες γὰρ πάλιν διὰ τῆς ὑμετέρας δυνάμεως καὶ κατελθόντες εἰς τὴν αὑτῶν οὐδένα χρόνον ἐνέμειναν, ἀλλ’ εὐθὺς εἰς Λακεδαίμονα πρέσβεις ἀπέστελλον, ἕτοιμοι δουλεύειν ὄντες καὶ μηδὲν κινεῖν τῶν πρότερον πρὸς αὐτοὺς ὡμολογημένων. Καὶ τί δεῖ μακρολογεῖν; Εἰ γὰρ μὴ προσέταττον ἐκεῖνοι τούς τε φεύγοντας καταδέχεσθαι καὶ τοὺς αὐτόχειρας ἐξείργειν, οὐδὲν ἂν ἐκώλυεν αὐτοὺς μετὰ τῶν ἠδικηκότων ἐφ’ ὑμᾶς τοὺς εὐεργέτας στρατεύεσθαι.

**30** Καὶ τοιοῦτοι μὲν νεωστὶ περὶ τὴν πόλιν τήνδε γεγενημένοι, τὸ δὲ παλαιὸν ἁπάσης τῆς Ἑλλάδος προδόται καταστάντες, αὐτοὶ μὲν ὑπὲρ οὕτως ἑκουσίων καὶ μεγάλων ἀδικημάτων συγγνώμης τυχεῖν ἠξιώθησαν, ἡμῖν δ’ ὑπὲρ ὧν ἠναγκάσθημεν, οὐδεμίαν ἔχειν οἴονται δεῖν, ἀλλὰ τολμῶσιν ὄντες Θηβαῖοι λακωνισμὸν ἑτέροις ὀνειδίζειν, οὓς πάντες ἴσμεν πλεῖστον χρόνον Λακεδαιμονίοις δεδουλευκότας καὶ προθυμότερον ὑπὲρ τῆς ἐκείνων ἀρχῆς ἢ τῆς αὑτῶν σωτηρίας

Γ (Δ) Θ Λ Π Ν

6 καὶ[1] ΓΔ : om. **a**, del. Γ[3] καταλειφθείσης **b** 7 μάλιστα **a** αὑτῶν Ξ Med. : αὐ- Γ **a** **29** 2 αὑτῶν Laur.58.14 Par.2931 : αὐ- Γ **a** ἐνέμειναν Γ **b** : ἀνέμειναν Θ (cf. etiam Dobree, *Advers.*, p. 277) : ἐπέμειναν coni. Strange, *Bemerk.*, 5, p. 148 εὐθὺς fort. postea add. N[1] 3 ἀπέστελον Π δουλεύσειν Θ 4 τῶν πρότερον πρὸς αὐτοὺς] εἰς αὐτοὺς τῶν πρότερον Θ ὡμολογημένων] ὁμ- Γ[ac], corr. Γ[2pc] γὰρ μὴ] μὴ γὰρ N 4-5 μὴ προσέταττον] μὴ πρ Λ[1ras] : [Λ[ac]] 5 τε om. **a** 6 ἐκώλυεν Γ[pc] ΘΛΠΝ[1pc] : ἐκώλυον Γ[ac] : κώλυον N[ac] μετὰ τῶν ἠδικηκότων **a** : μετὰ τῶν Γ[ac] : μετ’ αὐτῶν Γ[2pc] ἐφ’ ἡμᾶς Θ 7 στρατεύεσται Π **30** 1 καὶ τοιοῦτοι Γ Λ[pc]Ν : καίτοι οὗτοι ΘΛ[ac] : καὶτοιοῦτοι (sic) Π 3 ἡμῖν] ἡμᾶς **b** δὲ Ν 4 οὐδεμίαν ΓΔ[pc] Θ **c** : οὐδὲ μίαν Δ[ac] Λ δεῖν **a** : δ. συγγνώμην Γ 5 λακωνισμὸν Γ ΘΛΠ[pc] : λακονισμὸν Ν (fort. postea corr.) : λακωνισμὼν Π[ac] ἑτέρους Λ πάντες Γ **a** : ἅπαντες coni. Münscher, *Quaestiones*, p. 30 6 αὑτῶν coni. Bekker[1], p. 409 = Bekker[2], p. 339 (tamquam in Γ legeret) : αὐ- Γ Θ, nescio an recte : ἑαυ- **b**

πεπολεμηκότας. **31** Ποίας γὰρ εἰσβολῆς ἀπελείφθησαν τῶν εἰς ταύτην τὴν χώραν γεγενημένων; Ἢ τίνων οὐκ ἐχθίους ὑμῖν καὶ δυσμενέστεροι διετέλεσαν ὄντες; Οὐκ ἐν τῷ Δεκελεικῷ πολέμῳ πλεόνων αἴτιοι κακῶν ἐγένοντο τῶν ἄλλων τῶν συνεισβαλόντων; Οὐ δυστυχησάντων ὑμῶν μόνοι τῶν συμμάχων ἔθεντο τὴν ψῆφον, ὡς χρὴ τήν τε πόλιν ἐξανδραποδίσασθαι καὶ τὴν χώραν ἀνεῖναι μηλόβοτον ὥσπερ τὸ Κρισαῖον πεδίον; **32** Ὥστ' εἰ Λακεδαιμόνιοι τὴν αὐτὴν ἔσχον γνώμην Θηβαίοις, οὐδὲν ἂν ἐκώλυεν τοὺς ἅπασι τοῖς Ἕλλησιν αἰτίους τῆς σωτηρίας γενομένους αὐτοὺς ὑπὸ τῶν Ἑλλήνων ἐξανδραποδισθῆναι καὶ ταῖς μεγίσταις συμφοραῖς περιπεσεῖν. Καίτοι τίνα τηλικαύτην εὐεργεσίαν ἔχοιεν ἂν εἰπεῖν, ἥτις ἱκανὴ γενήσεται διαλῦσαι τὴν ἔχθραν τὴν ἐκ τούτων δικαίως ἂν ὑπάρχουσαν πρὸς αὐτούς;

**33** Τούτοις μὲν οὖν οὐδεὶς λόγος ὑπολείπεται τηλικαῦτα τὸ μέγεθος ἐξημαρτηκόσι, τοῖς δὲ συναγορεύειν βουλομένοις ἐκεῖνος μόνος, ὡς νῦν μὲν ἡ

Γ (Δ) Θ Λ Π Ν

**31** 5 ὡς χρὴ – μηλόβοτον Aristid. *Or.* 10.31

**31** 1 εἰσβολῆς] -λας Ν$^{ac}$, corr. Ν$^{1}$ inter scr. ἀπελήφθησαν Γ$^{ac}$, corr. Γ$^{1}$ inter scrib. 2 ἐχθίους Γ$^{ac}$ (vid.) **a** : ἔχθιστοι Γ$^{2pc}$ διετέλεσαν] ἐτέλεσαν Θ 3 δεκελεικῷ Γ$^{2pc}$ Δ (fort. ει ex corr.) ΛΠ$^{1sl}$Ν : δεκελικῷ Γ$^{ac}$ ΘΠ$^{it}$ πλειόνων **b** ἐγένοιντο Π 4 συνεισβαλόντων ΓΔ$^{pc}$ Θ : συνεισβαλλόντων Δ$^{ac}$ **c** : εἰσβαλόντων Λ ἡμῶν Θ$^{ac}$, corr. Θ$^{2}$ 5 τε om. Aristid. ἐξανδραποδίσασθαι Γ Θ : ἀνδραποδίσασθαι Aristid. : ἐξανδραποδισθῆναι **b** (ex **32** 3) ἀνεῖναι Γ **b** Aristid. : εἶναι Θ μηλόβωτον Λ$^{ac}$, corr. Λ$^{?}$ 6 κρίσαιον **c** **32** 1 ἔσχον γνώμην **b** : εἶχον γ. Θ : γ. ἔσχον Γ : sign. Γ$^{3}$ 2 ἐκώλυεν Γ : ἐκώλυε Δ : ἐκώλυεν ὑμᾶς ΛΝ : ἐκώμεν (sic) ὑμᾶς Π : ἐκώλυεν ἡμᾶς Θ 3 ἐξανδραποδισθῆναι] δι om. Ν$^{it}$, add. Ν$^{1sl}$ ταῖς om. Ν 4 εὐεργεσείαν Γ$^{ac}$ (vid.), corr. Γ$^{2?}$ ἔχοιαν (sic) Θ 5 ἥτις Ν (ἥ τὶς) : ἢ τίς Γ Θ : ἡτίς Π : η τις Λ$^{ras}$ : [Λ$^{ac}$] διαλῦσαι Γ Λ : -ύ- Δ Θ **c** ἔχραν Π (cf. **63** 4) ὑπάρξουσαν **b** : ὑπάρξασαν coni. Wolf, II, col. 832 **33** 1 οὖν **a** : om. Γ : sign. Γ$^{3}$ ὑπελείπεται Ν$^{ac}$, corr. Ν$^{1}$ 2 συνηγορεῖν Λ post ἐκεῖνος add. λόγος Ν$^{2sl}$ ἡ] ὁ Θ$^{ac}$, corr. Θ$^{1}$

Βοιωτία προπολεμεῖ τῆς ὑμετέρας χώρας, ἐὰν δὲ διαλύσησθε τὴν πρὸς τούτους φιλίαν, ἀσύμφορα τοῖς συμμάχοις διαπράξεσθε· μεγάλην γὰρ ἔσεσθαι τὴν ῥοπήν, εἰ μετὰ Λακεδαιμονίων ἡ τούτων γενήσεται πόλις. **34** ’Εγὼ δ’ οὔτε τοῖς συμμάχοις ἡγοῦμαι λυσιτελεῖν τοὺς ἀσθενεστέρους τοῖς κρείττοσι δουλεύειν – καὶ γὰρ τὸν παρελθόντα χρόνον ὑπὲρ τούτων ἐπολεμήσαμεν – οὔτε Θηβαίους εἰς τοῦτο μανίας ἥξειν, ὥστ’ ἀποστάντας τῆς συμμαχίας Λακεδαιμονίοις ἐνδώσειν τὴν πόλιν, οὐχ ὡς πιστεύων τοῖς τούτων ἤθεσιν, ἀλλ’ οἶδ’ ὅτι γιγνώσκουσιν ὅτι δυοῖν θάτερον ἀναγκαῖόν ἐστιν αὐτοῖς, ἢ μένοντας ἀποθνῄσκειν καὶ πάσχειν οἷά περ ἐποίησαν, ἢ φεύγοντας ἀπορεῖν καὶ τῶν ἐλπίδων ἁπασῶν ἐστερῆσθαι. **35** Πότερα γὰρ τὰ πρὸς τοὺς πολίτας αὐτοῖς ἔχει καλῶς, ὧν τοὺς μὲν ἀποκτείναντες, τοὺς δ’ ἐκ τῆς πόλεως ἐκβαλόντες διηρπάκασι τὰς οὐσίας, ἢ τὰ πρὸς τοὺς ἄλλους Βοιωτούς, ὧν οὐκ ἄρχειν μόνον ἀδίκως ἐπιχειροῦσιν, ἀλλὰ τῶν μὲν τὰ τείχη κατεσκάφασιν, τῶν δὲ καὶ τὴν χώραν ἀπεστερήκασιν; **36** ’Αλλὰ μὴν οὐδ’ ἐπὶ τὴν ὑμετέραν

Γ (Δ) Θ Λ Π Ν

**35** 4 κατεσκάφασιν cf. **8-10**

3 ἐὰν scripsi : ἢν Γ **a**  τούτοις Π  4 διαπράξεσθε Δ$^{pc}$ ΘΝ$^{2?pc}$ : διαπράξασθε (sic) ΓΔ$^{ac}$ Λ$^{ac}$ : διαπράξασθαι Λ$^{1pc}$ΠΝ$^{ac}$  ἔσεσθε Λ$^{ac}$, corr. Λ$^{1?}$  5 εἰ Γ **b** : ἢν Θ : sign. Γ$^{3}$  **34** 2 κρείττοσι Δ **a** : -σιν Γ  καὶ Γ : οὐδὲν Θ : οὐδὲ **b** : sign. Γ$^{3}$  3 τούτων Γ : ἄλλων τινῶν ἢ τούτων **a**  4 ὥστε **b**  συμμαχίας] ὑμετέρας σ. **b**  5 πιστεύων Γ$^{1sl}$ Δ$^{sl}$ (alia m.?) **a** : πιστεύω Γ$^{it}$ Δ$^{it}$ (πιστεύω τοῖσ Δ$^{1pc}$ inter scrib., πιστεύωνοῖσ Δ$^{ac}$)  γιγνώσκουσιν Γ : γινώσκουσιν ΘΛ : γινώσκουσι Π : γιγνώσκουσι Ν  ὅτι$^{2}$] ὡς **b**  6 ἐστιν αὐτοῖς Γ : αὐτοῖς ἐστιν **a**  πάσχειν] παρασχεῖν Θ  7 ἁπασῶν ἐστερῆσθαι] πασῶν ἀποστερεῖσθαι **b**  **35** 2 αἱποκτείναντες (sic) Δ  τοὺς δ’ **c** : τούσδ’ Δ ΘΛ : utrumque Γ (altera manus accentum acutum, altera gravem apposuit) 3 διηρπάκασι Δ **a** : -σιν Γ  Βοιωτοὺς] βιωτοὺς Π  4 κατεσκάφασιν Γ : -σι **a**  5 ἀπεστερήκασιν] ρ super στ vel τ Θ$^{1pc}$

πόλιν ἐπανελθεῖν αὐτοῖς οἷόν τ’ ἐστίν, ἢν οὕτω συνεχῶς φανήσονται προδιδόντες. Ὥστ’ οὐκ ἔστιν ὅπως βουλήσονται πρὸς ὑμᾶς ὑπὲρ τῆς ἀλλοτρίας διενεχθέντες τὴν αὑτῶν πόλιν οὕτως εἰκῇ καὶ προδήλως ἀποβαλεῖν, ἀλλὰ πολὺ κοσμιώτερον διακείσονται πρὸς ἁπάσας τὰς πράξεις, καὶ τοσούτῳ πλείω ποιήσονται θεραπείαν ὑμῶν, ὅσῳ περ ἂν μᾶλλον περὶ σφῶν αὐτῶν δεδίωσιν. **37** ’Επεδείξαντο δ’ ὑμῖν ὡς χρὴ τῇ φύσει χρῆσθαι τῇ τούτων, ἐξ ὧν ἔπραξαν περὶ ’Ωρωπόν· ὅτε μὲν γὰρ ἐξουσίαν ἤλπισαν αὑτοῖς ἔσεσθαι ποιεῖν ὅ τι ἂν βουληθῶσιν, οὐχ ὡς συμμάχοις ὑμῖν προσηνέχθησαν, ἀλλ’ ἅπερ ἂν εἰς τοὺς πολεμιωτάτους ἐξαμαρτεῖν ἐτόλμησαν· ἐπειδὴ δ’ ἐκσπόνδους αὐτοὺς ἀντὶ τούτων ἐψηφίσασθε ποιῆσαι, παυσάμενοι τῶν φρονημάτων ἦλθον ὡς ὑμᾶς, ταπεινότερον διατεθέντες ἢ νῦν ἡμεῖς τυγχάνομεν ἔχοντες. **38** Ὥστ’ ἐάν τινες ὑμᾶς ἐκφοβῶσι τῶν ῥητόρων, ὡς

Γ (Δ) Θ Λ Π Ν

**36** 2 ἐπανελθεῖν αὐτοῖς οἷόν τ’ ἐστίν **a** : οἷόν τ’ αὐτοῖς ἐπανελθεῖν ἐστιν Γ : sign. Γ$^{3}$ ἢν Γ Θ$^{2pc}$ : ἦν Θ$^{ac}$ **b** οὕτω Γ Λ : οὕτως Θ **c** 2-3 προδιδόντες – βουλήσονται om. N$^{it}$, add. N$^{1mg}$ (at signum apposuit tamquam post συνεχῶς inserenda essent) 3 βουλήσωνται Λ 4 αὑτῶν Z Ξ Leid Med : αὐτῶν Γ ΘΛΠN$^{1pc}$ : αὐτὸν N$^{ac}$ πολὺ] τὸν π. N$^{ac}$, corr. N$^{?}$ 5 πλείω] πλέον **b** 6 δεδίωσιν Γ$^{ac}$ : δεδιῶσιν **b** : δεδίασιν Γ$^{2?pc}$ Θ **37** 1 δὲ **a** 2 χρὴ] δεῖ Θ τούτων] σφῶν αὐτῶν **b** ’Ωρωπόν Γ **c** : ὀρωπόν ΘΛ μὲν om. Λ$^{ac}$, add. Λ$^{1}$ 3 ἐξουσίαν ἤλπισαν αὑτοῖς Γ (αὐ-) : ἐ. αὐ. ἤ. Θ : αὐ. ἐ. ἤ. **b** : sign. Γ$^{3}$ αὑτοῖς Ξ Leid Med : αὐ- Γ **a** ὅ τι ἂν Δ$^{1sl}$ **b** : ἂν ὅ,τϊ Θ : τί ἂν ΓΔ$^{it}$ : sign. Γ$^{3}$ βουληθῶσι N ὡς] ὦ N$^{it}$, corr. N$^{2sl}$ 4 ἀλλ’ ἅπερ ἂν Θ : ἀλλὰ πέραν Γ : ἀλλ’ ὥσπερ ἂν **b** (bis Π, cf. lin. seq.) ἐξαμαρτεῖν Γ Λ$^{1pc}$ (inter scrib.) **c** : ἐξαμαρτάνειν Θ : ἐξαμαρτ(ῆς) Λ$^{ac}$ 5 post ἐτόλμησαν iterum scr. ἀλλ’ ὥσπερ ἂν εἰς τοὺς πολεμιωτάτους (ex lin. antec.), deinde del. Π$^{1}$ δὲ **a** αὐτοὺς om. **c** ἐψηφίσασθε] ἐφηφίσασθα (sic) N$^{ac}$, corr. N$^{2?}$ ποιῆσαι] περὶ αὐτῶν π. **c** 6 φρονημάτων ΓΔ (ων ex corr. Δ$^{1}$) **a** : ὑμῶν add. Γ$^{4sl}$ (vid.) ὡς] εἰς Λ ἡμᾶς Δ$^{ac}$, corr. Δ$^{1}$ inter scrib. **38** 1 ὥστε **a** ἐάν scripsi : ἤν Γ **b** : ἄν Θ ἐκφοβῶσι Δ **a** : -σιν Γ ὡς] λέγοντες ὡς **b**

κίνδυνός ἐστιν, μὴ μεταβάλωνται καὶ γένωνται μετὰ τῶν πολεμίων, οὐ χρὴ πιστεύειν· τοιαῦται γὰρ αὐτοὺς ἀνάγκαι κατειλήφασιν ὥστε πολὺ ἂν θᾶττον τὴν ὑμετέραν ἀρχὴν ἢ τὴν Λακεδαιμονίων συμμαχίαν ὑπομείναιεν.

**39** Εἰ δ’ οὖν καὶ τἀναντία μέλλοιεν ἅπαντα πράξειν, οὐδ’ οὕτως ἡγοῦμαι προσήκειν ὑμῖν τῆς Θηβαίων πόλεως πλείω ποιήσασθαι λόγον ἢ τῶν ὅρκων καὶ τῶν συνθηκῶν, ἐνθυμουμένους πρῶτον μὲν ὡς οὐ τοὺς κινδύνους, ἀλλὰ τὰς ἀδοξίας καὶ τὰς αἰσχύνας φοβεῖσθαι πάτριον ὑμῖν ἐστιν, ἔπειθ’ ὅτι συμβαίνει κρατεῖν ἐν τοῖς πολέμοις οὐ τοὺς βίᾳ τὰς πόλεις καταστρεφομένους, ἀλλὰ τοὺς ὁσιώτερον καὶ πρᾳότερον τὴν Ἑλλάδα διοικοῦντας. **40** Καὶ ταῦτ’ ἐπὶ πλεόνων μὲν ἄν τις παραδειγμάτων ἔχοι διελθεῖν· τὰ δ’ οὖν ἐφ’ ἡμῶν γενόμενα τίς οὐκ οἶδεν, ὅτι καὶ Λακεδαιμόνιοι τὴν δύναμιν τὴν ὑμετέραν ἀνυπόστατον δοκοῦσαν εἶναι κατέλυσαν, μικρὰς μὲν ἀφορμὰς εἰς τὸν πόλεμον τὸν κατὰ θάλατταν τὸ πρῶτον ἔχοντες, διὰ δὲ τὴν δόξαν ταύτην προσαγόμενοι τοὺς Ἕλληνας, καὶ πάλιν ὑμεῖς τὴν ἀρχὴν ἀφείλεσθε τὴν ἐκείνων, ἐξ ἀτειχίστου μὲν τῆς πόλεως ὁρμηθέντες καὶ κακῶς πραττούσης, τὸ δὲ δίκαιον ἔχοντες σύμμαχον; **41** Καὶ τούτων ὡς οὐ

---

Γ (Δ) Θ Λ Π Ν

---

2 ἐστιν Γ : ἐστι Δ **a** καὶ γένωνται bis scr. Θ$^{ac}$, prius del. Θ$^{2}$ τῶν πολεμίων Γ Θ : Λακεδαιμονίων **c** : Λακεδαιμίων (sic) Λ 4 ὑπομείναιεν Γ ΘΛ : -νειεν **c** : -νειαν coni. Benseler, *Orationes*, I, p. XXVII **39** 1 τἀναντία] τὰ- ex corr. Δ$^{1}$ : τοὐναντίον Θ οὕτως] ὅτως (sic) Π 2 ἡμῖν Θ τῆς] τῶν Λ$^{ac}$, corr. Λ$^{1}$ 2-3 καὶ τῶν om. Ν$^{it}$, add. Ν$^{1sl}$ 4 συμβαίνει Γ$^{pc}$ **a** : συμβαίνειν Γ$^{ac}$ κρατεῖν] ν rescr. Γ$^{1\ vel\ 2\ ras}$ 5 πολεμίοις Θ ὁσιώτερον] ὁσιότατον Θ 6 οἰκοῦντας Θ **40** 1 ταῦτα **b** πλεόνων scripsi : πλειόνων Γ **a** 2 ἔχῃ Θ ὑμῶν Γ γινόμενα Θ 3 καὶ om. Γ Π ἡμετέραν Θ$^{ac}$, corr. Θ$^{2}$ 4 κατέλυσαν Γ$^{1pc}$ **a** : κατέδυσαν Γ$^{ac}$ μὲν] ἂν Ν ἀφορμᾶς Π 5 προσαγόμενοι Γ Θ Λ$^{ac}$ (vid.) : προσαγαγόμενοι Λ$^{1pc}$ **c** 7 κακῶς πραττούσης Γ : πραττούσης ἀσθενῶς **a**

βασιλεὺς αἴτιος ἦν ὁ τελευταῖος χρόνος σαφῶς ἐπέδειξεν· ἔξω γὰρ αὐτοῦ τῶν πραγμάτων γεγενημένου, καὶ τῶν μὲν ὑμετέρων ἀνελπίστως ἐχόντων, Λακεδαιμονίοις δὲ σχεδὸν ἁπασῶν τῶν πόλεων δουλευουσῶν, ὅμως αὐτῶν τοσοῦτον περιεγένεσθε πολεμοῦντες ὥστ' ἐκείνους ἀγαπητῶς ἰδεῖν τὴν εἰρήνην γενομένην.

**42** Μηδεὶς οὖν ὑμῶν ὀρρωδείτω μετὰ τοῦ δικαίου ποιούμενος τοὺς κινδύνους, μηδ' οἰέσθω συμμάχων ἀπορήσειν, ἐὰν τοῖς ἀδικουμένοις ἐθέλητε βοηθεῖν, ἀλλὰ μὴ Θηβαίοις μόνοις· οἷς νῦν τἀναντία ψηφισάμενοι πολλοὺς ἐπιθυμεῖν ποιήσετε τῆς ὑμετέρας φιλίας. Ἐὰν γὰρ ἐνδείξησθ' ὡς ὁμοίως ἅπασιν ὑπὲρ τῶν συνθηκῶν παρεσκεύασθε πολεμεῖν, **43** τίνες εἰς τοῦτ' ἀνοίας ἥξουσιν ὥστε μετὰ τῶν καταδουλουμένων εἶναι μᾶλλον ἢ μεθ' ὑμῶν τῶν ὑπὲρ τῆς αὑτῶν ἐλευθερίας ἀγωνιζομένων; Εἰ δὲ μή, τί λέγοντες, ἐὰν πάλιν γένηται πόλεμος, ἀξιώσετε προσάγεσθαι τοὺς Ἕλληνας, εἰ τὴν αὐτονομίαν προτείνοντες ἐκδώσετε πορθεῖν Θηβαίοις, ἥντιν' ἂν βούλωνται τῶν πόλεων; **44** Πῶς δ' οὐ τἀναντία

Γ (Δ) Θ Λ Π Ν

**41** 2 ἐπέδειξεν ΓΔ$^{it}$ **b** : ἀπέ- Δ$^{1sl}$ Θ    τῶν om. **b**    3 γεγενημένου Δ$^{1pc}$ **a** : ἐγεγενημένου Γ$^{it}$ : γ supra ἐγ Γ$^{2}$ : ἐγγεγενημένου Δ$^{ac}$    4 αὐτῶν τοσοῦτον] τ. αὐ. **b**    5 ὥστε **b**    **42** 1 Μηδεὶς] μή τις Θ$^{1pc}$ : μὴ τοὺς Θ$^{ac}$ (vid.)    ὀρροδείτω Θ$^{ac}$, corr. Θ$^{2pc}$    2 μηδ' Ν : μὴ δ' Γ ΘΛΠ    ἐὰν Γ **a** : ἂν coni. Benseler, *Orationes*, I, pp. xxi n. 5, xxvii (cf. *Areop.*, pp. 146-148)    τοῖς ἀδικουμένους (sic) Π    ἐθέλητε Γ : ἐθελήσητε Θ : ἐθελήσῃ τις **b** : sign. Γ$^{3}$    3 νῦν om. Ν    ψηφισάμενοι] νοι Γ$^{1ras}$ (vid.) : [Γ$^{ac}$]    4 Ἐὰν scripsi : ἢν Γ **a** (ν rescr. Θ$^{2}$)    ἐνδείξησθ' coni. Baiter, *Excursus*, p. 220 (cf. Benseler, *Areop.*, p. 415, *De hiatu*, p. 19, *Orationes*, I, p. ix) : -σθε Γ **a**    **43** 1 τοῦτο **a**    ἀνίας Ν$^{it}$, ο add. Ν$^{1sl}$    ἥξουσιν] η ex corr. Θ$^{1}$    2 ὥστε ΓΔ$^{ac}$ : ὥ. βούλεσθαι Δ$^{1pc}$ **a**    καταδουλομένων Π$^{ac}$, corr. Π$^{1?}$    εἶναι ΓΔ$^{ac}$ : τὴν ἑλλάδα εἶναι **a** : εἶναι τὴν ἑλλάδα Δ$^{pc}$ (alia m.)    ἢ] ἡ Ν    ἡμῶν Θ    αὑτῶν coni. Baiter – Sauppe, I, p. 263 : αὐτῶν Γ Θ : ἑαυτῶν **b**    3 ἀγωνιζομένως Θ$^{ac}$, corr. Θ$^{1pc}$    μὴ τί Δ$^{pc}$ **a** : μή τι ΓΔ$^{ac}$    4 ἐὰν scripsi : ἢν Γ **a**    4 ἀξιώσεται Π$^{ac}$, corr. Π$^{1}$    προσάγεσθαι Γ$^{sl}$Δ Θ$^{1pc}$ΛΝ$^{1?sl}$ : προσάγεσθε Γ$^{it}$ ΠΝ$^{it}$ : προσήγεσθαι (sic) Θ$^{ac}$    εἰ Γ ΘΛ$^{pc}$Ν$^{1pc}$ : εἰς Λ$^{ac}$ΠΝ$^{ac}$Ν$^{2sl}$    προτείναντες Ν    ἐκδώσετε ΛΠ$^{1pc}$Ν : ἐκδώσεται Π$^{ac}$ : ἐνδώσετε Γ : δώσετε Θ    5 ἥντινα **a**    **44** 1 οὐ] οὐχὶ καὶ **b**

φανήσεσθε πράττοντες ὑμῖν αὐτοῖς, εἰ Θηβαίους μὲν μὴ διακωλύσετε παραβαίνοντας τοὺς ὅρκους καὶ τὰς συνθήκας, πρὸς δὲ Λακεδαιμονίους ὑπὲρ τῶν αὐτῶν τούτων προσποιήσεσθε πολεμεῖν, καὶ τῶν μὲν κτημάτων τῶν ὑμετέρων αὐτῶν ἀπέστητε, βουλόμενοι τὴν συμμαχίαν ὡς μεγίστην ποιῆσαι, τούτους δὲ τὴν ἀλλοτρίαν ἔχειν ἐάσετε καὶ τοιαῦτα ποιεῖν, ἐξ ὧν ἅπαντες χείρους εἶναι νομιοῦσιν ὑμᾶς; **45** Ὃ δὲ πάντων δεινότατον, εἰ τοῖς μὲν συνεχῶς μετὰ Λακεδαιμονίων γεγενημένοις δεδογμένον ὑμῖν ἐστι βοηθεῖν, ἐάν τι παράσπονδον αὐτοῖς ἐκεῖνοι προστάττωσιν, ἡμᾶς δ', οἳ τὸν μὲν πλεῖστον χρόνον μεθ' ὑμῶν ὄντες διατετελέκαμεν, τὸν δὲ τελευταῖον μόνον πόλεμον ὑπὸ Λακεδαιμονίοις ἠναγκάσθημεν γενέσθαι, διὰ ταύτην τὴν πρόφασιν ἀθλιώτατα πάντων ἀνθρώπων περιόψεσθε διακειμένους. **46** Τίνας γὰρ ἂν ἡμῶν εὕροιτε δυστυχεστέρους, οἵτινες καὶ πόλεως καὶ χώρας καὶ χρημάτων ἐν μιᾷ στερηθέντες ἡμέρᾳ, πάντων τῶν ἀναγκαίων ὁμοίως ἐνδεεῖς ὄντες, ἀλῆται καὶ πτωχοὶ καθέσταμεν, ἀποροῦντες

Γ (Δ) Θ Λ Π Ν

2 φανήσεσθαι Θ$^{ac}$, corr. Θ$^{1}$ ἡμῖν Θ θηβαίοις Θ$^{ac}$, corr. Θ$^{2}$ μὴ om. Θ διακωλύσετε Γ ΘΛ$^{ac}$ : διακωλύσητε Λ$^{1pc}$N : διακολύσητε Π 4 ἡμετέρων Θ$^{ac}$, corr. Θ$^{1?}$ 5 ὡς om. Θ 6 ἐάσετε Γ **b** : ἐάσατε Θ$^{ac}$ : ἐάσητε (vid.) Θ$^{2pc}$ : sign. Γ$^{3}$ καὶ Γ$^{1pc}$ **a** : om. Γ$^{ac}$ 6-7 εἶναι νομιοῦσιν ὑμᾶς Θ (ἡ-) ΛΠΝ$^{1pc}$ (νομίζουσιν Ν$^{ac}$) : ὑμᾶς νομιοῦσιν εἶναι Δ$^{pc}$, nescio an recte : ὑμᾶς νομίσουσιν εἶναι ΓΔ$^{ac}$ **45** 1 Ὃ] ὁ Ν δεινότατον Γ : ἀλογώτατον **a**, nescio an recte : sign. Γ$^{3}$ 2 γεγενημένοις] γινομένοις Θ ὑμῖν] ὑμεῖν Ν : ἡμῖν Θ ἐστι Δ Θ **c** : ἐστιν Γ : comp. Λ$^{1sl}$ : om. Λ$^{it}$ ἐάν scripsi : ἤν Γ **a** 3 ἡμᾶς Γ Θ$^{2pc}$ **b** : ἡμεῖς Θ$^{1pc}$ : ὑμεῖς Θ$^{ac}$ οἳ Γ Θ$^{2pc}$ΛΠ : οἱ Θ$^{ac}$Ν ὑμῶν] ἡ- Θ$^{ac}$, corr. Θ$^{1?}$ 4 μόνον om. Λ$^{it}$, add. Λ$^{1sl}$ 5 γεγενῆσθαι **b** ἀθλιώτατα ἁπάντων Λ 6 διακειμένους] ι$^{2}$ add. Π$^{sl}$ **46** 1 ἂν om. **c** εὕροιτε Γ : εὕροι τις **b** (τίς Π) : τῖς εὕρη Θ 3 ἀναγκαιοτάτων **a** ἐνδεεῖς Γ ΘΛ : ἐν ἐνδεεῖς Π : ἐνενδεεῖς Ν ἀλῆται] ἁ- **b** καθεστήκαμεν **c**

ὅποι τραπώμεθα καὶ πάσας τὰς οἰκήσεις δυσχεραίνοντες; ’Εάν τε γὰρ δυστυχοῦντας καταλάβωμεν, ἀλγοῦμεν ἀναγκαζόμενοι πρὸς τοῖς οἰκείοις κακοῖς καὶ τῶν ἀλλοτρίων κοινωνεῖν· **47** ἐάν θ’ ὡς εὖ πράττοντας ἔλθωμεν, ἔτι χαλεπώτερον ἔχομεν, οὐ ταῖς ἐκείνων φθονοῦντες εὐπορίαις, ἀλλὰ μᾶλλον ἐν τοῖς τῶν πέλας ἀγαθοῖς τὰς ἡμετέρας αὐτῶν συμφορὰς καθορῶντες, ἐφ’ αἷς ἡμεῖς οὐδὲ μίαν ἡμέραν ἀδακρυτὶ διάγομεν, ἀλλὰ πενθοῦντες τὴν πατρίδα καὶ θρηνοῦντες τὴν μεταβολὴν τὴν γεγενημένην ἅπαντα τὸν χρόνον διατελοῦμεν. **48** Τίνα γὰρ ἡμᾶς οἴεσθε γνώμην ἔχειν ὁρῶντας καὶ τοὺς γονέας αὑτῶν ἀναξίως γηροτροφουμένους καὶ τοὺς παῖδας οὐκ ἐπὶ ταῖς ἐλπίσιν αἷς ἐποιησάμεθα παιδευομένους, ἀλλὰ πολλοὺς μὲν μικρῶν ἕνεκα συμβολαίων δουλεύοντας, ἄλλους δ’ ἐπὶ θητείαν ἰόντας, τοὺς δ’ ὅπως ἕκαστοι δύνανται τὰ καθ’ ἡμέραν ποριζομένους, ἀπρεπῶς καὶ τοῖς τῶν προγόνων ἔργοις καὶ ταῖς αὑτῶν ἡλικίαις καὶ τοῖς φρονήμασι τοῖς ἡμετέροις; **49** Ὃ δὲ πάντων ἄλγιστον, ὅταν τις ἴδῃ

---

Γ (Δ) Θ Λ Π Ν

---

4 ὅποι Γ : ποῖ **b** : πῇ Θ     καὶ πάσας τὰς οἰκήσεις δυσχεραίνοντες Γ : sign. in mg. apposuit et καὶ del. Γ$^{3}$ : ἐκπεσόντες γὰρ ἐκ τῆς οἰκείας ἀθυμοῦντες καὶ ἀλώμενοι (ἁ- **b**) τὴν ἑλλάδα περίημεν (η super ει Θ$^{1?pc}$, περΐϊμεν coni. Wolf, II, col. 833) πάσας δυσχεραίνοντες τὰς οἰκήσεις **a**     ’Εάν scripsi : ἤν Γ **a**     5 δυστυχοῦντας Γ$^{1 \text{ vel } 2 \text{ pc}}$ **a** : δυστυχοντας (sic) Γ$^{ac}$     **47** 1 ἐάν scripsi : ἤν Γ ΘΛ$^{1pc}$ (inter scrib.) **c** : ἄν Λ$^{ac}$     τε **a**     εὖ πράττοντας] εὐπραγοῦντας Λ     3 συμφορῶν N$^{ac}$, corr. N$^{1}$     κατ’ορῶντες (sic) N$^{ac}$, corr. N$^{1}$     4 οὐδὲ μίαν ΓΔ$^{ac}$ ΘΛ : οὐδεμίαν Δ$^{pc}$ **c**     ἀδακρυτὶ – πατρίδα om. N     ἀδακρυτὶ Γ$^{5?pc}$ ΘΛΠ : ἀδακρυτεὶ Γ$^{ac}$Δ     5 γεγενημένην ἅπαντα Γ$^{2sl}$ **a** : γεγένημεν ἅπαν Γ$^{ac}$     **48** 1 ἡμᾶς οἴεσθε Γ : οἴεσθε ἡμᾶς **a** (ὑμᾶς N$^{ac}$, corr. N$^{1}$) : sign. Γ$^{3}$     καὶ om. Λ     αὑτῶν coni. Baiter – Sauppe, I, p. 263 (τοὺς γονέας ἡμῶν, αὑτῶν ἀναξίως iam distinxerat Korais, I, p. 306) : αὑτῶν vel αὑ- Γ : sign. fort. Γ$^{3}$ : αὐτῶν Δ Θ : ἡμῶν αὐτῶν **b** (αὑ- Λ)     ἀναξίως αὐτῶν Θ     2 γηρωτροφουμένους Θ     3 μικρὸν N     4 δὲ ἐπὶ **b**     τοὺς δ’ Γ **b** : τούσδ’ Δ Θ     τὰ coni. Hertlein, p. 183 : τὸ Γ **a**     5-6 καὶ τοῖς τῶν προγόνων – ἡμετέροις om. **c**     5 αὑτῶν Pal.135 Ξ Leid Laur.58.12 C.S.84 Laur.58.14 : αὐ- Γ Θ : incertum Λ     6 φρονήμασι Δ ΘΛ : -σιν Γ     **49** 1 ἄλγιστον Γ : ἐστὶν ἀλγεινότατον **a**

χωριζομένους ἀπ’ ἀλλήλων μὴ μόνον πολίτας ἀπὸ πολιτῶν, ἀλλὰ καὶ γυναῖκας ἀπ’ ἀνδρῶν καὶ θυγατέρας ἀπὸ μητέρων καὶ πᾶσαν τὴν συγγένειαν διαλυομένην, ὃ πολλοῖς τῶν ἡμετέρων πολιτῶν διὰ τὰς ἀπορίας συμβέβηκεν· ὁ γὰρ κοινὸς βίος ἀπολωλὼς ἰδίας τὰς ἐλπίδας ἕκαστον ἡμῶν ἔχειν πεποίηκεν. **50** Οἶμαι δ’ ὑμᾶς οὐδὲ τὰς ἄλλας αἰσχύνας ἀγνοεῖν τὰς διὰ πενίαν καὶ φυγὴν γιγνομένας, ἃς ἡμεῖς τῇ μὲν διανοίᾳ χαλεπώτερον τῶν ἄλλων φέρομεν, τῷ δὲ λόγῳ παραλείπομεν, αἰσχυνόμενοι λίαν ἀκριβῶς τὰς ἡμετέρας αὐτῶν ἀτυχίας ἐξετάζειν.

**51** Ὧν αὐτοὺς ὑμᾶς ἀξιοῦμεν ἐνθυμουμένους ἐπιμέλειάν τινα ποιήσασθαι περὶ ἡμῶν. Καὶ γὰρ οὐδ’ ἀλλότριοι τυγχάνομεν ὑμῖν ὄντες, ἀλλὰ ταῖς μὲν εὐνοίαις ἅπαντες οἰκεῖοι, τῇ δὲ συγγενείᾳ τὸ πλῆθος ἡμῶν· διὰ γὰρ τὰς ἐπιγαμίας τὰς δοθείσας ἐκ πολιτίδων ὑμετέρων γεγόναμεν· ὥστ’ οὐχ οἷόν θ’ ὑμῖν ἀμελῆσαι περὶ ὧν ἐληλύθαμεν δεησόμενοι. **52** Καὶ γὰρ ἂν πάντων εἴη δεινότατον, εἰ πρότερον μὲν ἡμῖν μετέδοτε τῆς πατρίδος τῆς ὑμετέρας αὐτῶν, νῦν δὲ μηδὲ τὴν ἡμετέραν ἀποδοῦναι δόξειεν ὑμῖν. Ἔπειτ’ οὐδ’ εἰκὸς ἕνα μὲν ἕκαστον ἐλεεῖσθαι

Γ (Δ) Θ Λ Π Ν

2 χωριζομένους] χω Δ$^{1ras}$ : [Δ$^{ac}$] ἀπὸ πολιτῶν om. Θ 3 θυγατέρας Γ : τέκνα **a** : sign. Γ$^{3}$ 4 τὴν ἀπορίαν Γ 5 ἀπολωλὼς] ως Δ$^{1ras}$ : [Δ$^{ac}$] τὰς om. **b** πεποίηκεν ἔχειν Θ **50** 1 ὑμᾶς Γ Θ$^{ac}$ **b** : ἡ- Θ$^{1pc}$ 3 τὴν μὲν διάνοιαν Θ ἄλλων Γ : ἄλλων κακῶν **a** : sign. Γ$^{3}$ τῷ] τῇ Λ$^{ac}$, corr. Λ$^{1}$ 4 ὑμετέρας Λ$^{ac}$, corr. Λ$^{1}$ ἀτυχίας] ἀ corr. vel male scr. Λ$^{1}$ (εὐτυχίας T$^{it}$ [ἀ T$^{sl}$] Par.2990) **51** 1 αὐτοὺς ὑμᾶς Γ : ὑμᾶς αὐτοὺς **a** ἐνθυμουμένους] ἐν om. Δ$^{it}$, add. Δ$^{1sl}$ ἐπιμελείας N$^{it}$, -αν N$^{2sl}$ 3 οἰκεῖοι – τὰς ἐπιγαμίας bis scr. N$^{(ff. 69v, 70v)}$ δὲ om. Θ συγγενείᾳ Γ ΘΛΠN$^{2sl (f. 69v)}$ N$^{(f. 70v)}$ : συγγεια (sic) N$^{it (f. 69v)}$ τὰς$^{2}$] ἀς Θ$^{1ras}$ : [Θ$^{ac}$] 4 ὥστ’ Γ N : ὥστε ΘΛΠ θ’ Γ$^{1pc}$ : τ’ Γ$^{ac}$ : τε **a** 5 ἐληλύθαμεν Γ ΘΛ : ἐληλύθημεν Π : ἐλυλήθαμεν N$^{1?pc}$ : ἐλυλήθημεν N$^{ac}$ **52** 1 ἂν om. Θ ἁπάντων **a** 2 μηδὲ N : μὴ δὲ Γ$^{2mg}$Δ ΘΛΠ : οὐδὲ Γ$^{it}$ : sign. Γ$^{3}$ 3 ὑμετέραν Θ$^{ac}$, corr. Θ$^{2}$ Ἔπειτ’ Θ : -τα Γ **b** ἐλεεῖσθαι Γ$^{1b?sl}$ Γ$^{2pc}$ **a** : -σθε Γ$^{ac}$

τῶν παρὰ τὸ δίκαιον δυστυχούντων, ὅλην δὲ πόλιν οὕτως ἀνόμως διεφθαρμένην μηδὲ κατὰ μικρὸν οἴκτου δυνηθῆναι τυχεῖν, ἄλλως τε καὶ παρ' ὑμᾶς καταφυγόντας, οἷς οὐδὲ τὸ πρότερον αἰσχρῶς οὐδ' ἀκλεῶς ἀπέβη τοὺς ἱκέτας ἐλεήσασιν. **53** 'Ελθόντων γὰρ 'Αργείων ὡς τοὺς προγόνους ὑμῶν καὶ δεηθέντων ἀνελέσθαι τοὺς ὑπὸ τῇ Καδμείᾳ τελευτήσαντας, πεισθέντες ὑπ' ἐκείνων καὶ Θηβαίους ἀναγκάσαντες βουλεύσασθαι νομιμώτερον οὐ μόνον αὐτοὶ κατ' ἐκείνους τοὺς καιροὺς εὐδοκίμησαν, ἀλλὰ καὶ τῇ πόλει δόξαν ἀείμνηστον εἰς ἅπαντα τὸν χρόνον κατέλιπον, ἧς οὐκ ἄξιον προδότας γενέσθαι. Καὶ γὰρ αἰσχρὸν φιλοτιμεῖσθαι μὲν ἐπὶ τοῖς τῶν προγόνων ἔργοις, φαίνεσθαι δ' ἐκείνοις τἀναντία περὶ τῶν ἱκετῶν πράττοντας. **54** Καίτοι πολὺ περὶ μειζόνων καὶ δικαιοτέρων ἥκομεν ποιησόμενοι τὰς δεήσεις· οἱ μὲν γὰρ ἐπὶ τὴν ἀλλοτρίαν στρατεύσαντες ἱκέτευον ὑμᾶς, ἡμεῖς δὲ τὴν ἡμετέραν αὐτῶν ἀπολωλεκότες, κἀκεῖνοι μὲν παρεκάλουν ἐπὶ τὴν τῶν νεκρῶν ἀναίρεσιν, ἡμεῖς δ' ἐπὶ τὴν τῶν λοιπῶν σωτηρίαν. **55** Ἔστι δ' οὐκ ἴσον κακὸν οὐδ' ὅμοιον τοὺς τεθνεῶτας ταφῆς εἴργεσθαι καὶ τοὺς ζῶντας πατρίδος ἀποστερεῖσθαι καὶ τῶν ἄλλων ἀγαθῶν ἁπάντων, ἀλλὰ τὸ μὲν δεινότερον τοῖς κωλύουσιν ἢ τοῖς ἀτυχοῦσιν, τὸ δὲ μηδεμίαν ἔχοντα καταφυγήν, ἀλλ' ἄπολιν

Γ (Δ) Θ Λ Π Ν

4 ὅλην] οὐδεῖ Θ (ex lin. antec. οὐδ' εἰκὸς)   5 μηδὲ Ν : μὴ δὲ Γ ΘΛΠ   τε] τε δὲ Θ   παρ'] πρὸς Λ   5-6 καταφυγοῦσαν **b**   6 οὐδ' Γ ΛΠ : οὐδὲ ΘΝ   ἀπέβη] ἀ Γ$^{1ras}$ : [Γ$^{ac}$]   ἱκέτας ΓΔ$^{1pc}$ ΛΠ : οἰκ- Δ$^{ac}$ (vid.) ΘΝ   **53** 2 πεισθέντος Ν$^{ac}$, corr. Ν$^{?}$   4 καιροὺς] χρόνους **b**   5 κατέλειπον Θ$^{ac}$, corr. Θ$^{1}$   6 ἐπὶ **b** (cf. *De pace* 41) : ἐν Γ Θ, nescio an recte (cf. Pl. *La*. 182b)   δὲ Θ   ἱκετῶν Γ$^{pc}$ **b** : οἰκ- Γ$^{ac}$ Θ   **54** 1 περὶ] μὲν Ν   1-2 τὰς δεήσεις ποιησόμενοι **a**   2 στρατεύσαντες Γ ΘΛ$^{ac}$ : -εύοντες Λ$^{1pc}$ **c**   ὑμᾶς Γ ΘΛΝ$^{2?sl}$ : ἡ- ΠΝ$^{it}$   2-4 ἡμεῖς – ἀναίρεσιν om. Θ   4 ἀναίρεσιν] αἱ Δ$^{1ras}$ : [Δ$^{ac}$]   **55** 1 ἴσον Γ Ν : ἶ- ΘΛΠ   2 εἴργεσθαι Γ   4 ἀτυχοῦσιν Γ Ν : -σι Δ ΘΛΠ   μηδεμίαν Δ$^{1pc}$ **a** (μηδὲ μίαν Π, μὴ δὲ μίαν Θ) : μίαν ΓΔ$^{ac}$ : sign. Γ$^{3}$   ἀλλὰ **a**

γενόμενον καθ’ ἑκάστην τὴν ἡμέραν κακοπαθεῖν καὶ τοὺς αὑτοῦ περιορᾶν μὴ δυνάμενον ἐπαρκεῖν, τί δεῖ λέγειν ὅσον τὰς ἄλλας συμφορὰς ὑπερβέβληκεν;

**56** Ὑπὲρ ὧν ἅπαντας ὑμᾶς ἱκετεύομεν ἀποδοῦναι τὴν χώραν ἡμῖν καὶ τὴν πόλιν, τοὺς μὲν πρεσβυτέρους ὑπομιμνήσκοντες ὡς οἰκτρὸν τοὺς τηλικούτους ὁρᾶσθαι δυστυχοῦντας καὶ τῶν καθ’ ἡμέραν ἀποροῦντας, τοὺς δὲ νεωτέρους ἀντιβολοῦντες καὶ δεόμενοι βοηθῆσαι τοῖς ἡλικιώταις καὶ μὴ περιιδεῖν ἔτι πλείω κακὰ τῶν εἰρημένων παθόντας. **57** ’Οφείλετε δὲ μόνοι τῶν Ἑλλήνων τοῦτον τὸν ἔρανον, ἀναστάτοις ἡμῖν γεγενημένοις ἐπαμῦναι. Καὶ γὰρ τοὺς ἡμετέρους προγόνους φασὶν, ἐκλιπόντων τῶν ὑμετέρων πατέρων ἐν τῷ Περσικῷ πολέμῳ ταύτην τὴν χώραν, μόνους τῶν ἔξω Πελοποννήσου κοινωνοὺς ἐκείνοις τῶν κινδύνων γενομένους συνανασῶσαι τὴν πόλιν αὐτοῖς· ὥστε δικαίως ἂν τὴν αὐτὴν εὐεργεσίαν ἀπολάβοιμεν, ἥνπερ αὐτοὶ τυγχάνομεν εἰς ὑμᾶς ὑπάρξαντες. **58** Εἰ δ’ οὖν καὶ μηδὲν ὑμῖν τῶν σωμάτων τῶν ἡμετέρων δέδοκται φροντίζειν, ἀλλὰ τήν γε χώραν οὐ πρὸς ὑμῶν ἐστιν ἀνέχεσθαι πεπορθημένην, ἐν ᾗ μέγιστα σημεῖα

---

Γ (Δ) Θ Λ Π Ν

---

5 γενόμενον Γ **b** : γεγενημένον Θ : sign. $Γ^{3}$ κακοπαθεῖν καθ’ ἑκάστην τὴν ἡμέραν $ΠΝ^{pc}$ (τὴν ἡμετέραν $N^{ac}$) αὑτοῦ Laur.58.14 Med : αὐ- Γ **a** 6 δυναμένους Θ ὑπερβέβηκεν **b** **56** 1 ὑμᾶς Γ $ΘΛΝ^{sl}$ : ἡ- $ΠΝ^{it}$ χώραν] χάριν Θ ἡμῖν] ὑ- Π : om. Ν 2 οἰκτρὸν] οἱ ὑπὸ Θ 3 ἀποροῦντας Γ $Θ^{1pc}Λ^{3ras}$ (-ας) **c** : -τες $Θ^{ac}$ : [$Λ^{ac}$] 4 ἀντιβολοῦντες καὶ δεόμενοι Γ : ἀντιβολοῦντας καὶ δεομένους **a** βοηθεῖν **b** τοῖς] τοὺς Ν 5 κακὰ $Δ^{1pc}$ $ΛΠΝ^{2pc}$ : κατὰ $ΓΔ^{ac}$ $N^{ac}$ : om. Θ : sign. vel del. $Γ^{3}$ **57** 1 μόνοις **a** 2 γεγενημένοις **a** : γενομένοις Γ : sign. $Γ^{3}$ ἡμετέρους $Γ^{1?pc}Δ^{1pc}$ **a** : ἡμερους (sic) $Γ^{ac}$ : ὑμετέρους $Δ^{ac}$ 3 προγόνους om. Θ ὑμετέρων πατέρων] εἰρημένων πατρώων Ν 4 τὴν $Γ^{2mg}Δ$ **a** : om. $Γ^{it}$ χώραν] ω et ν ex corr. $Γ^{1}$ πελοπονήσου Θ 5 αὐτὴν] αὐτ $Δ^{1ras}$ : τὴν $Θ^{1ras}$ : [$Δ^{ac}$ $Θ^{ac}$] 6 ἀπολάβοιμεν Γ $ΘΛΠΝ^{1?sl}$ : ἀποβαιμεν $N^{it}$ **58** 2 ἡμῖν Θ 3 ἀνασχέσθαι **a** πεπορθημένης $N^{it}$, -ν $N^{1?sl}$

τῆς ἀρετῆς τῆς ὑμετέρας καὶ τῶν ἄλλων τῶν συναγωνισαμένων καταλέλειπται· **59** τὰ μὲν γὰρ ἄλλα τρόπαια πόλει πρὸς πόλιν γέγονεν, ἐκεῖνα δ' ὑπὲρ ἁπάσης τῆς Ἑλλάδος πρὸς ὅλην τὴν ἐκ τῆς 'Ασίας δύναμιν ἕστηκεν. Ἃ Θηβαῖοι μὲν εἰκότως ἀφανίζουσιν· τὰ γὰρ μνημεῖα τῶν τότε γενομένων αἰσχύνη τούτοις ἐστίν· ὑμῖν δὲ προσήκει διασῴζειν· ἐξ ἐκείνων γὰρ τῶν ἔργων ἡγεμόνες κατέστητε τῶν Ἑλλήνων. **60** Ἄξιον δὲ καὶ τῶν θεῶν καὶ τῶν ἡρώων μνησθῆναι τῶν ἐκεῖνον τὸν τόπον κατεχόντων καὶ μὴ περιορᾶν τὰς τιμὰς αὐτῶν καταλυομένας, οἷς ὑμεῖς καλλιερησάμενοι τοιοῦτον ὑπέστητε κίνδυνον, ὃς καὶ τούτους καὶ τοὺς ἄλλους ἅπαντας Ἕλληνας ἠλευθέρωσεν. Χρὴ δὲ καὶ τῶν προγόνων ποιήσασθαί τινα πρόνοιαν καὶ μὴ παραμελῆσαι μηδὲ τῆς περὶ ἐκείνους εὐσεβείας, **61** οἳ πῶς ἂν διατεθεῖεν, εἴ τις ἄρα τοῖς ἐκεῖ φρόνησίς ἐστι περὶ τῶν ἐνθάδε γιγνομένων, εἰ κυρίων ὑμῶν ὄντων αἴσθοιντο τοὺς μὲν δουλεύειν τοῖς βαρβάροις ἀξιώσαντας δεσπότας τῶν ἄλλων καθισταμένους, ἡμᾶς δὲ τοὺς ὑπὲρ τῆς ἐλευθερίας συναγωνισαμένους μόνους τῶν Ἑλλήνων ἀναστάτους γεγενημένους, καὶ τοὺς

Γ (Δ) Θ Λ Π Ν

4 ἡμετέρας N$^{ac}$, corr. N$^{?}$ καταλέλειπται **a** (έ ex corr. Θ) : -λείπεται Γ **59** 1 ἄλλα Γ$^{2mg}$Δ **a** : om. Γ$^{it}$ δὲ **a** πάσης Θ 2 ἕστηκεν] εὕτηκεν (vid.) Π 3 ἀφανίζουσιν Γ Π : -σι Δ ΘΛΝ 4 ἡμῖν Θ διασῴζειν Blass, *Orationes*, II, p. 100 : -ώ- Γ **a** **60** 1 ἐκείνων Θ 2 οἷς] οἷος N$^{ac}$, corr. N$^{?}$ ὑμεῖς Γ **b** : ἡ- Δ Θ 3 ὑπέστητε Γ$^{2pc}$Δ$^{ac}$ **b** : ἐπέστητε (vid.) Γ$^{ac}$ (∗πέστητε) : ὑπέστημεν Δ$^{1pc}$ : ἐπέστημεν Θ ὃς Γ$^{2mg}$Δ **a** : om. Γ$^{it}$ 4 ἠλευθέρωσεν Γ **c** : -σε Δ ΘΛ 5 πρόνοιαν] οι Δ$^{1ras}$ : [Δ$^{ac}$] μὴ om. Π$^{ac}$, corr. Π$^{1}$ παραμιλῆσαι Θ μηδὲ ΛΝ : μὴ δὲ Γ ΘΠ **61** 1 οἳ πῶς Γ : ὅπως **a** : ἐνθυμουμένους ὅπως coni. Med. (Chalcondyles) 2 ἆρα **c** φρόνησίς Γ ΘΛΠΝ$^{it}$ : τισις N$^{2sl}$ (nescio utrum τίσις an φρόντισις voluerit) ἐστι Δ Θ **c** : ἐστιν Γ : comp. Λ 3 κύριον Θ ὑμῶν Γ ΛΝ : ἡ- Θ Π αἴσθοιτο Π δουλεύεις Θ$^{ac}$, corr. Θ$^{1}$ 4 δεσπόταις Δ$^{ac}$, corr. Δ$^{1}$ ἄλλων Γ Θ : ἄ. ἑλλήνων ΛΠΝ$^{1pc}$ : ἄ. ἑλλήνων ἀναστάτους γεγενημένους N$^{ac}$ (ex lin. seq.) καθισταμένους **a** : γιγνομένους Γ 4-5 ἡμᾶς – συναγωνισαμένους om. Λ$^{it}$, add. Λ$^{2sl}$ συνελευθερίας ἀγωνισαμένους (sic) Θ

μὲν τῶν συγκινδυνευσάντων τάφους μὴ τυγχάνοντας τῶν νομιζομένων σπάνει τῶν ἐποισόντων, Θηβαίους δὲ τοὺς τἀναντία παραταξαμένους κρατοῦντας τῆς χώρας ἐκείνης; **62** ’Ενθυμεῖσθε δ’ ὅτι Λακεδαιμονίων μεγίστην ἐποιεῖσθε κατηγορίαν, ὅτι Θηβαίοις χαριζόμενοι τοῖς τῶν Ἑλλήνων προδόταις ἡμᾶς τοὺς εὐεργέτας διέφθειραν. Μὴ τοίνυν ἐάσητε ταύτας τὰς βλασφημίας περὶ τὴν ὑμετέραν γενέσθαι πόλιν, μηδὲ τὴν ὕβριν τὴν τούτων ἀντὶ τῆς παρούσης ἕλησθε δόξης.

**63** Πολλῶν δ’ ἐνόντων εἰπεῖν, ἐξ ὧν ἄν τις ὑμᾶς ἐπαγάγοιτο μᾶλλον φροντίσαι τῆς ἡμετέρας σωτηρίας, οὐ δύναμαι πάντα περιλαβεῖν, ἀλλ’ αὐτοὺς χρὴ καὶ τὰ παραλελειμμένα συνιδόντας καὶ μνησθέντας μάλιστα μὲν τῶν ὅρκων καὶ τῶν συνθηκῶν, ἔπειτα δὲ καὶ τῆς ἡμετέρας εὐνοίας καὶ τῆς τούτων ἔχθρας, ψηφίσασθαι τὰ δίκαια περὶ ἡμῶν.

---

Γ (Δ) Θ Λ Π Ν

---

6 συγκινδυνευσάντων Γ$^{2pc}$Δ (συνκ- Γ$^{ac}$, σάν Δ$^{1ras}$) : κινδυνευσάντων **b** : κινδυνευσαμένων Θ    τάφρους Θ    7 ἐποισόντων Γ : ποιησάντων ΘΛ$^{ac}$ **c** : ποιησόντων Λ$^{pc}$ : sign. Γ$^{3}$    παραταξαμένους Γ **c** : διαπραξαμένους ΘΛ : sign. Γ$^{3}$    τῆς] τῶν Ν$^{ac}$, corr. inter scrib. Ν$^{1}$    **62** 1 ἐνθυμεῖσθε] εἶ rescr. Θ$^{1}$    δὲ **b**    Λακεδαιμονίων Γ : καὶ Λακεδαιμονίων **a** (ω ex corr. Ν)    3 διαφθείρειν Θ    ταύτην τὴν βλασφημίαν **b**    4 ὑμετέραν ΓΔ$^{1pc}$ **b** : ἡ- Δ$^{ac}$ Θ    μηδὲ ΛΝ : μὴ δὲ Γ ΘΠ    **63** 1 δ’ ἐνόντων Θ : δὲ ἐνόντων **b** : δὲ ὄντων Γ    ἐπαγάγοιτο Γ$^{2sl}$Δ$^{1sl}$ **b** : ἐπαγάγοι τῶ Θ : ἐπαγάγοι Γ$^{it}$Δ$^{it}$, nescio an recte    2 πάντα Γ : πάντα τῷ λόγῳ Θ : βραχεῖ λόγῳ πάντα **b** : sign. Γ$^{3}$    περιλαβεῖν] λ super β corr. inter scr. Π$^{1}$    αὐτοὺς ὑμᾶς **b**    3 καὶ τὰ παραλελειμμένα Γ **b** (-λειμένα Λ) : μάλιστα παραλελειμμένα Θ$^{1?sl}$ (-λειμένα Θ$^{it}$)    συνειδότας Θ    4 ὑμετέρας **a**    ἔχρας Π (cfr. **32** 5)    5 ψηφίσασθαι τὰ δίκαια περὶ ἡμῶν **b** : ψηφίσασθαι τὰ δίκαια (om. περὶ ἡμῶν) Θ : ψηφίσασθαί τι περὶ ἡμῶν δίκαιον ΓΔ (-σθαι τί ΓΔ, δίκ Δ$^{1ras}$) **Subscriptio** πλαταϊκός Γ Λ$^{ac}$ : πλαταιϊκός Δ (add. alia m.) : τέλος τοῦ πλαταϊκοῦ Λ$^{4pc}$ : om. ΘΠΝ